berauisti: verberauit. Alię autem similiter personis
ψαο. ἐτύψατο. Τὰ δὲ ἄλλα ὁμοίως τοῖς τοῦ
secundi indefiniti. preter quātū hic pe-
δευτέρου ἀορίστου. πλὴν ὅσον ἐνταῦθα τὸ πα
nultimans in oībus personis custodi
ραλῆγον α ἐν πᾶσι τοῖς προσώποις φυλάττε-
tur īmutata. Passiui vero preteritipfe
ται ἄτρεπτον. Τοῦ δὲ παθητικοῦ παρακειμέ
cti secunda a prima: mutatiōe
νου τὸ δεύτερον ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ
finalis in siue actu vel potentia. si quidē
ληκτικοῦ μ εἰς σ ἤτοι ἐνεργείᾳ ἢ δυνάμει. εἰ μὲν
enim futurum per vel formatio
γὰρ ὁ μέλλων διὰ τοῦ ψ ἢ ξ, ὁ σχηματισμὸς
secundi singularium passiui pre-
τοῦ δευτέρου τῶν ἑνικῶν τοῦ παθητικοῦ πα-



VNiVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

teritipfecti per ipsam duplicem fit.
ρακειμένου διὰ τοῦ αὐτοῦ διπλοῦ γίνεται.
vt verberabo: verberatꝰ sũ: verberatus es. dicã: dictus
οἷον, τύψω, τέτυμμαι, τέτυψαι. λέξω, λέλεγ-
sum: dictus es. si aũt futurum alteram consonantem
μαι, λέλεξαι. εἰ δὲ ὁ μέλλων ἕτερον σύμφωνον
in vltima habet: assumit.
ἐπὶ τῆς ληγούσης ἔχει, τὸ σ προσλαμβάνει.
vt: faciã: factus sum: factus es. iudicabo.
οἷον, ποιήσω, πεποίημαι, πεποίησαι. κρινῶ,
iudicatus sum: iudicatus es. Tertia aũt a secun-
κέκριμαι, κέκρισαι. τὸ δὲ τρίτον ἀπὸ τοῦ δευ-
da mutatione siue actu existentis siue po-
τέρου τροπῇ τοῦ σ, εἴτε ἐνεργείᾳ ὄντος εἴτε δυ-
tentia: in et si quidẽ secunda habet aliquã du-
νάμει, εἰς τ, καὶ εἰ μὲν τὸ δεύτερον ἔχει τι τῶν δι-
pliciũ: ante assumitur tenuis:
πλῶν, πρὸ τοῦ τ προσλαμβάνεται τὸ ψιλόν,
quę fuit potentia in duplici. vt: verberatꝰ es.
ὅπερ ἦν δυνάμει ἐν τῷ διπλῷ. οἷον, τέτυψαι,
verberatꝰ est. dictus es: dictus est. // si aũt in desi-
τέτυπται. λέλεξαι, λέλεκται. εἰ δὲ εἰς σαι λή-
nit secunda singulariũ: si quidẽ prima
γει τὸ δεύτερον τῶν ἐνικῶν, εἰ μὲν τὸ πρῶτον
ante habet: vel vel istę et
πρὸ τῆς μαι τὸ σ ἔχει, ἢ τὸ λ, ἢ τὸ ρ, ταῦτα καὶ
in tertia persona custodiuntur. vt:
ἐπὶ τοῦ τρίτου προσώπου φυλάττεται. οἷ-
auditus sum: auditus es: auditus est. seminatus sũ:
ον, ἤκουσμαι, ἤκουσαι, ἤκουσται. ἔσπαρμαι,
seminatus es: seminatus est. cantatus sũ: cantatus es:
ἔσπαρσαι, ἔσπαρται. ἔψαλμαι, ἔψαλσαι,
cantatus est. si aũt ante alteram habet mu-
ἔψαλται. εἰ δὲ πρὸ τῆς μαι ἕτερον μ ἔχει τε-
tatã a ante acci-
τραμένον ἀπὸ τοῦ γ, τὸ μ πρὸ τοῦ τ προσ-



pitur. vt: roratus sum: roratus est. ostensus
λαμβάνεται. οἷον, ἔῤῥαμμαι, ἔῤῥανται. πέφαμ-
sum: ostensus est. si aũt prima singulariũ in
μαι, πέφανται. εἰ δὲ τὸ πρῶτον τῶν ἐνικῶν εἰς
purum desinit et tertia singulariũ
μαι καθαρὸν λήγει, καὶ τὸ τρίτον τῶν ἐνικῶν
nihil ante accipit. vt: factus
οὐδὲν πρὸ τοῦ τ προσλαμβάνει. οἷον, πεποί-
sum: factus es: factus est. iudicatus sũ: iudica-
ημαι, πεποίησαι, πεποίηται. κέκριμαι, κέκρι-
tus es: iudicatus est. Prima aũt persona
σαι, κέκριται. τὸ δὲ πρῶτον πρόσωπον τῶν
dualium prima quidem a prima
δυϊκῶν τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν
singulariũ similiter pręsenti. vt: verberatꝰ sum:
ἐνικῶν ὁμοίως τῷ ἐνεστῶτι. οἷον, τέτυμμαι,
verberati sumꝰ duo. dictus sum: dicti sumus duo. Se-
τετύμμεθον. λέλεγμαι, λελέγμεθον. τὸ δὲ
cunda aũt a tertia singulariũ mutatiõe
δεύτερον ἀπὸ τοῦ τρίτου τῶν ἐνικῶν τροπῇ τῆς
in et tenuis: si sit: in propriam
ται εἰς θον, καὶ τοῦ ψιλοῦ, ἐὰν ᾖ, εἰς τὸ οἰκεῖον
aspiratã. vt: verberatꝰ est: verberati estis duo. dictꝰ est: dicti
δασύ. οἷον, τέτυπται, τέτυφθον. λέλεκται, λέλεχ-
estis duo. vbi aũt nõ inest tenuis: semꝑ secun-
θον. ἔνθα δὲ μὴ ὑπάρχει ψιλόν, ἀεὶ τὸ δεύτε-
da dualium assumit vt: factus
ρον τῶν δυϊκῶν προσλαμβάνει τὸ σ. οἷον, πεποί-
est: facti estis duo. auditus est: auditi estis duo. pręter
ηται, πεποίησθον. ἤκουσται, ἤκουσθον. πλὴν ἐ-
in quibꝰ vel est istę enim et in se-
φ' ὧν τὸ ρ ἢ τὸ λ ἐστί. ταῦτα γὰρ καὶ ἐπὶ τοῦ δευ-
cunda dualiũ seruãtur: non potente
τέρου τῶν δυϊκῶν φυλάττεται, μὴ δυναμένου
vel cum esse ipsi vt: seminatꝰ
τοῦ ρ ἢ τοῦ λ συνυπάρχειν αὐτῷ. οἷον, ἔσπαρ-

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

est: seminati estis duo. cantatus est: cātati estis duo. Pluralium
ται, ἔσπαρθον. ἔψαλται, ἔψαλθον. Τῶν δὲ πλη
autem prima a prima
θυντικῶν τὸ πρῶτον ἀπὸ τοῦ πρώτου τῶν
dualium mutatione vltime in simili
δυϊκῶν μεταποιήσει τῆς ἐσχάτης εἰς θα, ὁμοί=
ter presenti. verberati sum⁹ duo: verberati sumus. di
ως τῷ ἐνεστῶτι. τετύμμεθον, τετύμμεθα. λε=
cti sumus duo: dicti sumus. Secunda vero a
λέγμεθον, λελέγμεθα. Τὸ δὲ δεύτερον ἀπὸ
secunda dualium eiectione et ver=
τοῦ δευτέρου τῶν δυϊκῶν ἐκβολῇ τοῦ ν καὶ τρο
sione in verberati estis duo. verberati estis. dicti estis duo: di
πῇ τοῦ ο εἰς ε. τέτυφθον, τέτυφθε. λέλεχθον, λέ
cti estis. Tertia vero a tertia sin=
λεχθε. Τὸ δὲ τρίτον ἀπὸ τοῦ τρίτου τῶν ἑνι
gulariū fit. et si quidē in purum finit:
κῶν γίνεται. καὶ εἰ μὲν εἰς ται καθαρὸν λήγει,
assumptione fit tertia plura=
προσλήψει τοῦ ν γίνεται τὸ τρίτον τῶν πλη=
lium vt: factus est: facti sunt. iudica
θυντικῶν. οἷον, πεποίηται, πεποίηνται. κέκρι=
t⁹ est: iudicati sūt: si aūt duas cōsonantes in vl
ται, κέκρινται, εἰ δὲ δύο σύμφωνα ἐπὶ τῆς λη=
tima habet tertia singularium: cōmuniter quidē
γούσης ἔχει τὸ τρίτον τῶν ἑνικῶν, κοινῶς μὲν
fieri non possibile est. ionice aūt: versione
γενέσθαι οὐχ οἷόν τε. ἰωνικῶς δὲ, τροπῇ τοῦ
tenuis: in quib⁹ vtiq₃ fuerit: in aspiratā: et interpositione
ψιλοῦ, ἐν οἷς ἂν ᾖ, εἰς δασὺ, καὶ παρενθέσει τοῦ
verberatus est: verberati sūt. plicatus est: plicati
α. τέτυπται, τετύφαται. πέπλεκται, πεπλέχα=
sunt. in quib⁹ aūt presens habet: nō sed
ται. ἐφῶν δὲ ὁ ἐνεστὼς τὸ ζ ἔχει, οὐ τὸ σ, ἀλλὰ
pro isto accipit tertia
τὸ δ ἀντὶ τούτου προσλαμβάνει τὸ τρίτον τῶν



pluralium. vt: dictus est: dicti sūt.
πληθυντικῶν. οἷον, πέφρασται, πεφράδαται.
Et persone preteriti plusq̄pfecti aūt similiter psonis
Καὶ τὰ τοῦ ὑπερσυντελίκου δὲ ὁμοίως τοῖς
preteriti pfecti fiunt. preter in qb⁹ pre=
τοῦ παρακειμένου γίνεται, πλὴν ἐφῶν τοῦ πα
teriti pfecti desinentia diphthongus: in hoc
ρακειμένου κατάληξις ἡ αι δίφθογγος, ἐπὶ τοῦ
paruum. vt: verberatus es: verberat⁹ eras. verbe
του τὸ ο μικρόν. οἷον, τέτυψαι, ἐτέτυψο. τέ=
ratus est: verberatus erat.
τυπται, ἐτέτυπτο.

De formatione temporū verborū in
Περὶ σχηματισμοῦ τῶν χρόνων τῶν εἰς μι.

Verborū aūt in tres sunt: vt dictū est: ppria tempo
Τῶν δὲ εἰς μι τρεῖς εἰσιν, ὡς εἴρηται, ἴδιοι χρό=
ra: presens: et preteritū īpfectū: et secun
νοι, ὅ, τε ἐνεστώς, καὶ ὁ παρατατικός, καὶ δεύτε
dum indefinitum. fit aūt preteritū īpfectum
ρος ἀόριστος. γίνεται δὲ ὁ μὲν παρατατικὸς ἀ
a presenti: versione syllabe in
πὸ τοῦ ἐνεστῶτος, τροπῇ τῆς μι συλλαβῆς εἰς
et assumptione syllabici augumenti
ν, καὶ προσλήψει τῆς συλλαβικῆς αὐξήσεως
vel tēporalis in principio: vbi vtiq₃ locū h₃. vt:
ἢ χρονικῆς κατὰ τὴν ἀρχὴν, ἔνθα ἂν ἐγχωρῇ, οἷ=
pono: ponebā. statuo: statuebā. do: dabam.
ον. τίθημι, ἐτίθην. ἵστημι, ἵστην. δίδωμι, ἐδίδων.
iungo: iungebam. Secundum aūt indefinitum
ζεύγνυμι, ἐζεύγνυν. Ὁ δὲ δεύτερος ἀόριστος
a preterito ipfecto: eiectione prime
ἀπὸ τοῦ παρατατικοῦ, ἐκβολῇ τῆς πρώτης
sylabe que est secūdū geminationem. vt:
συλλαβῆς τῆς κατὰ ἀναδιπλασιασμόν. οἷον,
ponebā: posui. statuebā: statui. dabam: dedi. verborū enim
ἐτίθην, ἔθην. ἵστην, ἔστην. ἐδίδων, ἔδων. Τῶν γὰρ

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

in vt generaliter dicatur: primitiua per ge
εἰς μι, ὡς ἁπλῶς εἰπεῖν, τὰ πρωτότυπα κατὰ ἀ
minationem formantur: assumptione
ναδιπλασιασμὸν σχηματίζεται, προσλήψει
incohatiui consonantis cū vt: pono: po-
τοῦ ἀρκτικοῦ συμφώνου σὺν τῷ ι. οἷον, θῶ, θι-
no. ꝓpter aūt alternitatem aspiratarū versione
θῶ. διὰ δὲ τὴν ἐπαλληλίαν τῶν δασέων τροπῇ
in effertur. pono: pono. do: do.
τοῦ θ εἰς τ ἐκφέρεται. τιθῶ, τίθημι. διδῶ, δίδωμι.
sto quidē non ꝓpter malū sonum: sed
στῶ μέντοι οὐ σιστῶ διὰ τὸ δύσφωνον, ἀλλ᾽ ἐκ
eiectione effertur. statuo: statuo. verba quidē
βολῇ τοῦ σ ἐκφέρεται. ἱστῶ, ἵστημι. τά γε μὴν
in quartę cōiugationis nō geminan
εἰς μι τῆς τετάρτης συζυγίας οὐκ ἀναδιπλα-
tur. vt: iungo: iungo: iungo. scin-
σιάζεται. οἷον, ζεύγω, ζευγνύω, ζεύγνυμι. ῥήγ
do: vel scindo: scindo: scindo. ostendo: osten
τω, ἢ ῥήγω, ῥηγνύω, ῥήγνυμι, δείκω, δει-
do: ostendo.
κνύω, δείκνυμι.

Formatio futuri verborum in
σχηματισμὸς τοῦ μέλλοντος τῶν εἰς μι.

Esset aūt vtiqꝫ formare et futura verborū
Εἴη δ᾽ ἂν σχηματίσαι καὶ τοὺς μέλλοντας τῶν
in primę et secundę et tertię
εἰς μι τῆς πρώτης καὶ δευτέρας καὶ τρίτης ἀ-
a ꝓprio primitiuo: ablatione quę est secū
πὸ τοῦ ἰδίου πρωτοτύπου, ἀφαιρέσει τῆς κα
dū geminationem principalis syllabę. vt:
τὰ ἀναδιπλασιασμὸν ἀρκτικῆς συλλαβῆς. οἷ-
pono: ponam. statuo: statuam. do: dabo. quē
ον, τιθέω, θήσω. ἱστάω, στήσω. διδόω, δώσω. κα
admodū iam et futura circumflexo-
θάπερ δὴ καὶ οἱ μέλλοντες τῶν περισπωμέ-



rum formantur. Quartę aūt futu
νων σχηματίζονται. τῆς δὲ τετάρτης οἱ μέλ-
ra aliqñ quidē habent: aliqñ aūt et
λοντες ποτὲ μὲν τὸ ξ ἔχουσι, ποτὲ δὲ τὸ σ. καὶ
qñ quidē penultima pręsentis syllabi
ὅτε μὲν ἡ παραλήγουσα τοῦ ἐνεστῶτος συλλα
zatur vel tūc habet futurum. vt:
βίζεται τῷ γ ἢ τῷ κ, τότε τὸ ξ ἔχει ὁ μέλλων. οἷον,
rumpo: rumpam. ostendo: ostendam. qñ aūt penul
ῥήγνυμι, ῥήξω. δείκνυμι, δείξω. ὅτε δὲ ἡ παρα-
tima neutrum istorum habet: futurum
λήγουσα οὐδέτερον τούτων ἔχει, ὁ μέλλων
assumit vt: induo. indu
προσλαμβάνει τὸ σ. οἷον, ἀμφιέννυμι, ἀμφιέ-
am. satio: saciabo. Melius quidem et p-
σω. κορέννυμι, κορέσω. βέλτιον μέντοι καὶ ἰδι
prius resoluentes in primitiua
αίτερον ἀναλύοντας εἰς τὰ πρωτότυπα τῶν
barytonorum hinc futura quar
βαρυτόνων, ἐντεῦθεν τοὺς μέλλοντας τῆς τετάρ
tę coniugationis verborū in formare vt: ostendo:
της συζυγίας τῶν εἰς μι σχηματίζειν. οἷον, δείκω,
ostendo: cuius deriuatiuum ostendo: ostendam. iun-
δείκνω, οὗ τὸ παράγωγον δεικνύω, δείξω. ζεύ
go: iungam. induo: induā. satio: satiabo.
γω, ζεύξω. ἕω, ἕσω. κορέω, κορέσω.

Formatio in actiuarū per-
σχηματισμὸς τῶν εἰς μι ἐνεργητικῶν προ
sonarum personę indicatiuorū.
σώπων. πρόσωπα τῶν ὁριστικῶν.

Istorum aūt verborū in secunda quidē actiuo
τούτων δὲ τῶν εἰς μι τὸ μὲν δεύτερον τῶν ἐνερ
rum indicatiui pręsentis a pri
γητικῶν τοῦ ὁριστικοῦ ἐνεστῶτος ἀπὸ τοῦ πρώ
ma fit: ablatione et versione
του γίνεται, ἀφαιρέσει τοῦ ι καὶ τροπῇ τοῦ ν

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

in pono: ponis. statuo: statuis. do: das.
εἰς σ. τίθημι, τίθης. ἵστημι, ἵστης. δίδωμι, δίδως.
iungo: iungis. Tertia vero a secũ-
ζεύγνυμι, ζεύγνυς. Τὸ δὲ τρίτον ἀπὸ τοῦ δευ-
da assumptione ponis: ponit. das:
τέρου προσλήψει τοῦ ι. τίθης, τίθησι. δίδως,
dat. Secunda vero dualiũ a
δίδωσι. Τὸ δὲ δεύτερον τῶν δυϊκῶν ἀπὸ τοῦ
secunda singulariũ: mutatione longe vo
δευτέρου τῶν ἑνικῶν, τροπῇ τοῦ μακροῦ φω-
calis in penultimam vocalem ꝑprij
νήεντος εἰς τὸ παραλῆγον φωνῆεν τῆς οἰκείας
principij: et in et additione vt:
ἀρχῆς, καὶ τοῦ σ εἰς τ, καὶ προσθέσει τοῦ ον. οἷ-
ponis: ponitis duo. statuis: statuitis duo. das: datis
ον, τίθης, τίθετον. ἵστης, ἵστατον. δίδως, δίδο-
duo. iungis: iungitis duo. Tertia conso
τον. ζεύγνυς, ζεύγνυτον. Τὸ τρίτον ὁμοφω-
nat ꝑprio secundo. Prima vero plu
νεῖ τῷ ἰδίῳ δευτέρῳ. Τὸ δὲ πρῶτον τῶν πλη-
ralium a prima singulariũ: mutatiõe
θυντικῶν ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν, τροπῇ
longe vocalis: vt dictũ est: in penul
τοῦ μακροῦ φωνήεντος, ὡς εἴρηται, εἰς τὸ πα-
timam ꝑprij principij: et mutatione in
ραλῆγον τῆς ἰδίας ἀρχῆς, καὶ ἀμοιβῇ τῆς μι εἰς
vt: pono: ponimus. statuo: statuimus. do:
μεν. οἷον, τίθημι, τίθεμεν. ἵστημι, ἵσταμεν. δίδω
damus. iungo: iungimus. Secunda ve
μι, δίδομεν. ζεύγνυμι, ζεύγνυμεν. Τὸ δὲ δεύτε
ro a secunda dualiũ: versione
ρον ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν, τροπῇ τοῦ
in ponitis duo: ponitis. Tertia vero a
ον εἰς ε. τίθετον, τίθετε. Τὸ δὲ τρίτον ἀπὸ τοῦ
tertia dualium: mutatione in
τρίτου τῶν δυϊκῶν, μεταβολῇ τῆς τον εἰς σι,



et interpositione vt: ponunt duo: ponunt.
καὶ παρενθέσει τοῦ α. οἷον, τίθετον, τιθέασιν.
statuunt duo: statuunt. et per contractionẽ statuunt.
ἵστατον, ἱστάασι. καὶ κατὰ συναίρεσιν ἱστᾶσι.
dant duo: dant. In aũt quarta coniu
δίδοτον, διδόασιν. Ἐπὶ δὲ τῆς τετάρτης συ-
gatione tertia persona plurali
ζυγίας τὸ τρίτον πρόσωπον τῶν πληθυντι-
um consonat barytonorũ tertijs
κῶν ὁμοφωνεῖ τοῖς τῶν βαρυτόνων τρίτοις
personis. iungũt duo. iungunt. inuenitur
προσώποις. ζεύγνυτον. ζευγνύουσι. εὕρηται
tamen et iungunt. secunda aũt perso
μέντοι καὶ ζευγνύασι. Τὸ δὲ δεύτερον πρόσω
na preteriti ĩpfecti et indefiniti secundi
πον τοῦ παρατατικοῦ καὶ ἀορίστου δευτέρου
fit: versione in ponebam: ponebas. statuebã:
γίνεται, τροπῇ τοῦ ν εἰς σ. ἐτίθην, ἐτίθης. ἵστην,
statuebas. dabam: dabas. iũgebam: iungebas.
ἵστης. ἐδίδων, ἐδίδως. ἐζεύγνυν, ἐζεύγνυς. Τὸ
Tertia vero a secunda: eiectione
δὲ τρίτον ἀπὸ τοῦ δευτέρου, ἐκβολῇ τοῦ σ.
Secunda vero et tertia dualium: vt et
Τὸ δὲ δεύτερον καὶ τρίτον τῶν δυϊκῶν, ὡς καὶ
in presenti. similiter aũt et prima
ἐπὶ τοῦ ἐνεστῶτος. ὁμοίως δὲ καὶ τὸ πρῶτον
et secunda pluralium. Tertia vero
καὶ δεύτερον τῶν πληθυντικῶν. Τὸ δὲ τρίτον
a tertia dualium: versione in
ἀπὸ τοῦ τρίτου τῶν δυϊκῶν, τροπῇ τῆς την εἰς
vt: posuerũt duo: posuerũt. statuerũt duo: statuerunt.
σαν. οἷον, ἐθέτην, ἔθεσαν. ἱστάτην, ἵστασαν.

Persone imperatiuorum.
πρόσωπα τῶν προστακτικῶν.

Imperatiuorũ aũt secunda quidem singu
τῶν δὲ προστακτικῶν τὸ μὲν δεύτερον τῶν ἑνι

larium a participii genitiuo ablatione quod ē
κῶν ἀπὸ τῆς μετοχικῆς γενικῆς ἐξαιρέσει τοῦ
in penultima et mutatione vlti
ἐν τῇ παραλήγουσῃ ν, καὶ μεταποιήσει τῆς ἐσχά
me in vt: ponentis: pone. statuentis: statue.
της εἰς θι. οἷον, τιθέντος, τίθετι. ἱστάντος, ἵσταθι.
dantis: da. iungentis: iunge.
διδόντος, δίδοθι. ζευγνύντος, ζεύγνυθι. τὰ
Imperatiua enim in præsentium bre
γὰρ προστακτικὰ τῶν εἰς μι ἐνεστώτων βρα=
ui volunt penultimari. vniuersaliter aūt omnis
χεία θέλει παραλήγεσθαι. καθόλου δὲ πᾶσα
genitiuus per declinatus: in facit impera
γενικὴ διὰ τοῦ ντ κλινομένη, εἰς θι ποιεῖ τὸ προσ
tiuum. Imperatiua quidem secundo
τακτικόν. τά γε μὴν προστακτικὰ τῶν δευτέ=
rum indefinitorum primę et tertię coniugatio
ρων ἀορίστων τῆς πρώτης καὶ τρίτης συζυγί=
nis. et a secunda persona ho
ας, καὶ ἀπὸ τοῦ δευτέρου προσώπου τῶν ὁ=
monymorū indicatiui esset vtiq; formare:
μωνύμων τοῦ ὁριστικοῦ εἴη ἂν σχηματίσαι,
mutatiōe longę vocalis in penulti
τροπῇ τοῦ μακροῦ φωνήεντος εἰς τὸ παραλη=
mam pprij principij. vt: posuisti: pone. dedisti:
κτικὸν τῆς οἰκείας ἀρχῆς. οἷον, ἔθης, θές. ἔδως,
da. quę iā et magis in vsu. ponito enim et
δός. ἃ δὴ καὶ μᾶλλον ἐν χρήσει. τὸ γὰρ θέτι καὶ
dato opponuntur regulę dicenti in
δόθι ἀντίκειται τῷ κανόνι τῷ λέγοντι τὰ εἰς θι
imperatiua et in infinitiua indefini
προστακτικὰ καὶ τὰ εἰς ναι ἀπαρέμφατα ἀορί=
ti existētia natura longa penultimant. ideo et
στου ὄντα φύσει μακρᾷ παραλήγεται. διὸ καὶ
statuito: nō statuito dicim⁹: et ascendito nō ascendi
στῆθι, οὐ στάθι φαμέν, καὶ ἀνάβηθι, οὐκ ἀνάβα



to. Tertia vero a secunda: mutatione
θι. τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου, τροπῇ τῆς
in vt: pone: ponat. da: det.
θι εἰς τω. οἷον, τίθετι, τιθέτω. δίδοθι, διδότω.
statuito: statuito: dato: vel dato: dato. alię vero cōse
στῆθι, στήτω. δόθι, ἢ δός, δότω. τὰ δὲ ἄλλα ἀκο
quenter: vt psonę barytonorum.
λούθως, ὡς τὰ τῶν βαρυτόνων.

Personę optatiuorū.
πρόσωπα τῶν εὐκτικῶν.

Optatiuorū aūt prima quidē persona a
τῶν δὲ εὐκτικῶν τὸ μὲν πρῶτον πρόσωπον ἀπὸ
genitiuo ppriorū participiorū mutatione vlti
τῆς γενικῆς τῶν ἰδίων μετοχῶν τροπῇ τῆς ἐσχά
mę in et eiectione et additione
της εἰς ην καὶ ἐκβολῇ τοῦ ν καὶ προσθέσει τοῦ ι.
vt: ponentis: ponerē. statuentis: statuerem. dan
οἷον, τιθέντος, τιθείην. ἱστάντος, ἱσταίην. διδόν
tis: darē. alię vero personę similiter
τος, διδοίην. τὰ δὲ ἄλλα πρόσωπα ὁμοίως τοῖς
optatiuis barytonorū passiuorū indefinitorū
εὐκτικοῖς τῶν βαρυτόνων παθητικῶν ἀορίστων
fiunt. Personę subiunctiuorū.
γίνεται. πρόσωπα τῶν ὑποτακτικῶν.
Subiunctiuorū aūt prima quidē a
τῶν δὲ ὑποτακτικῶν τὸ μὲν πρῶτον ἀπὸ τοῦ
pprio primitiuo. vt: pono: pono: si ponā.
ἰδίου πρωτοτύπου. οἷον, τιθέω, τιθῶ, ἐὰν τιθῶ.
statuo statuo: si statuā. do do: si dem.
ἱστάω ἱστῶ, ἐὰν ἱστῶ. διδόω διδῶ, ἐὰν διδῶ. τῆς
quartę aūt nō est facere subiunctiuum. pro
δὲ τετάρτης οὐκ ἔστι ποιεῖν ὑποτακτικόν. διὲ=
pter oppositionē duarū coincidentium regularum: quarū
ναντιότητα δυοῖν συμπιπτόντων κανόνων, ὧν
vna quidē dicit: q subiunctiua vborū in eiusdē
ὁ μὲν εἰς φησιν, ὅτι τὰ ὑποτακτικὰ τῶν εἰς μι ὁμο

ω

VNiVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

vocis et eiusdẽ toni esse volunt suis primi
φωνεῖν καὶ ὁμοτονεῖν θέλει τοῖς ἑαυτῶν πρωτο
tiuis. altera vero ꝙ habẽtia in oxytonum
τύποις. ἅτερος δὲ ὅτι τὰ ἔχοντα εἰς σ ὀξύτονον
participium: circũflexa habere debet sub
τὴν μετοχὴν, περισπώμενα ἔχειν ὀφείλει τὰ ὑ
iunctiua. hic igitur primitiuũ quidem:
ποτακτικά. ἐνταῦθα οὖν τὸ μὲν πρωτότυπον,
barytonon: participium vero in oxytonon. ideo et
βαρύτονον, ἡ δὲ μετοχὴ εἰς σ ὀξύτονος. διὸ καὶ
defecit omnino. Secunda vero prime qui
ἐξέλιπε παντελῶς. Τὸ δὲ δεύτερον τῆς μὲν πρώ
dem et secũde coniugationis vborũ in a
της καὶ δευτέρας συζυγίας τῶν εἰς μι ἀπὸ τοῦ
prima fit: versione in vt: si po
πρώτου γίνεται, τροπῇ τοῦ ω εἰς ης. οἷον, ἐὰν τι
nas: pones. tertie vero coniugationis a pri
θῶ, τιθῇς. τῆς δὲ τρίτης συζυγίας ἀπὸ τοῦ πρώ
ma: additione solus si des: des:
του, προσθέσει μόνον τοῦ σ. ἐὰν διδῶ, διδῷς.
et omnino in omnibus personis hic
καὶ ὅλως ἐπὶ πάντων τῶν προσώπων ἐνταῦ-
custoditur. vel et aliter verborũ in
θα τὸ ω φυλάττεται. ἢ καὶ ἄλλως τῶν εἰς μι τὰ
secunde et tertie persone subiunctiuorũ
δεύτερα καὶ τρίτα πρόσωπα τῶν ὑποτακτικῶν
prime quidem cõiugationis per efferuntur.
τῆς μὲν πρώτης συζυγίας διὰ τοῦ η ἐκφέρονται.
secunde vero per tertie vero per
τῆς δὲ δευτέρας διὰ τοῦ α. τῆς δὲ τρίτης διὰ τοῦ
longum. Formatio infinitiuorum.
ω μεγάλου. ¶ Σχηματισμὸς τῶν ἀπαρεμφάτων.
Infinitiua vero verborũ in in desinunt: et
Τὰ δὲ ἀπαρέμφατα τῶν εἰς μι εἰς ναι λήγει, καὶ
a prima persona fiunt plu-
ἀπὸ τοῦ πρώτου προσώπου γίνονται τῶν πλη

ralium mutatione in ponimus: ponere.
θυντικῶν τροπῇ τῆς μεν εἰς ναι. τίθεμεν, τιθέναι.
statuimus: statuere. damus: dare. iungimus:
ἵσταμεν, ἱστάναι. δίδομεν, διδόναι. ζεύγνυμεν,
iungere. vel et aliter. omne participiũ in oxy
ζευγνύναι. ἢ καὶ ἄλλως. πᾶσα μετοχὴ εἰς σ ὀξύ
tonum per quod declinatur: in facit
τονος διὰ τοῦ ντ κλινομένη, εἰς ναι ποιεῖ τὸ ἀ
infinitiuũ. notandũ tamen: ꝙ presentium
παρέμφατον. σημειωτέον μέντοι, ὅτι τὰ μὲν τῶν
quidem infinitiua corripiunt pe
ἐνεστώτων ἀπαρέμφατα συστέλλουσι τὴν πα
nultimam: ꝓpriam principalem vocalẽ custodien
ραλήγουσαν, τὸ ἴδιον ἀρχικὸν φωνῆεν φυλάτ
tia. vt: pono: ponere. statuo: statuere do:
τοντα. οἷον, τιθέω, τιθέναι. ἱστάω, ἱστάναι, δι-
dare. iungo: iungere. Secũ
δόω, διδόναι. ζευγνύω, ζευγνύναι. Τῶν δὲ
dorum aũt indefinitorum producũt penulti
δευτέρων ἀορίστων ἐκτείνουσι τὴν παραλή-
mam: prime quidẽ assumentia
γουσαν, τῆς μὲν πρώτης προσλαμβάνοντα τὸ
cum ꝓpria principali vocali. vt. posuis
ι μετὰ τοῦ οἰκείου ἀρχικοῦ φωνήεντος. οἷον. θεῖ
se. Tertie aũt tenue. vt: didisse. hu-
ναι. τῆς δὲ τρίτης τὸ υ ψιλόν. οἷον, δοῦναι. ταύ
ius aũt aliqua in ꝙ imperatiuis et in
της δέ τινα ἐπί τε τῶν προστακτικῶν καὶ τῶν ἀ
finitiuis: et magnũ in penultima
παρεμφάτων, καὶ τὸ ω μέγα ἐν τῇ παραληγού
accipiunt. vt cognoscito. cognouisse. et capito. ca
σῃ λαμβάνει. ὡς τὸ γνῶθι. γνῶναι. καὶ ἅλωθι. ἁ
ptũ esse. Secunde vero et Quarte pro-
λῶναι. Τῆς δὲ δευτέρας καὶ τετάρτης μηκυ-
ducta vocali sola. vt: statuisse.
νομένου τοῦ φωνήεντος μόνου. οἷον, στῆναι.

dixisse. ingressū esse.
φᾶναι. δῦναι.

Formatio in participiorum.
σχηματισμὸς τῶν εἰς μι μετοχῶν.

Similiter aūt et participia verborū in mascu
ὡσαύτως δὲ καὶ αἱ μετοχαὶ τῶν εἰς μι, τῶν μὲν
linorū quidem in oxytonon desinentia prime quidē
ἀρσενικῶν εἰς ς ὀξύτονον λήγουσαι τῆς μὲν πρώ
cōiugationis assumunt cū
της συζυγίας προσλαμβάνουσι τὸ ι μετὰ τοῦ
ꝓpria principali vocali. vt: hic ponēs: huius po
ἰδίου ἀρχικοῦ φωνήεντος. οἷον, ὁ τιθείς, τοῦ τι
nentis. hic qui posuit hui⁹ q̄ posuit. tertię aūt te
θέντος. ὁ θεὶς τοῦ θέντος. τῆς δὲ τρίτης τὸ υ ψι=
nue. vt: hic dans: huius dantis. hic qui dedit: huius
λόν. οἷον, ὁ διδούς, τοῦ διδόντος. ὁ δούς, τοῦ
qui dedit. secundę aūt et quartę vocalez
δόντος. τῆς δὲ δευτέρας καὶ τετάρτης τὸ φωνῆ
solum primitiuorum producunt. nihil
εν μόνον τῶν πρωτοτύπων ἐκτείνουσι, μηδὲν
alterū assumētes. vt: hic statuens:
ἕτερον προσλαμβάνουσαι. οἷον, ὁ ἱστάς,
huius statuentis. hic iungens: huius iungentis.
τοῦ ἱστάντος. ὁ ζευγνύς, τοῦ ζευγνύντος. τῶν
femininorū aūt a proprio masculino fa
δὲ θηλυκῶν ἀπὸ τοῦ ἰδίου ἀρσενικοῦ γινόμε=
cta additione vt hic ponēs: hec ponēs. hic
ναι προσθέσει τοῦ α. οἷον, ὁ τιθείς, ἡ τιθεῖσα. ὁ
statuens: hec statuens. hic dans: hec dans: hic iungens:
ἱστάς, ἡ ἱστᾶσα. ὁ διδούς, ἡ διδοῦσα. ὁ ζευγνύς
hec iungens. Neutrorum aūt a geni
ἡ ζευγνῦσα. τῶν δὲ οὐδετέρων ἀπὸ τῆς γενι
tiuo proprii masculini: abiectione
κῆς τοῦ ἰδίου ἀρσενικοῦ, ἐξαιρέσει τοῦ τος.
vt huius ponentis. hoc ponens: huius statuentis:
οἷον τοῦ τιθέντος, τὸ τιθέν, τοῦ ἱστάντος,



hoc statuens. hui⁹ dantis: hoc dans. huius iungen
τὸ ἱστάν. τοῦ διδόντος, τὸ διδόν. τοῦ ζευ=
tis: hoc iungens.
γνύντος, τὸ ζευγνύν.

Formatio verborū in passiuorum
σχηματισμὸς τῶν εἰς μι παθητικῶν
pręsentis.
τοῦ ἐνεστῶτος.

Passiuorū aūt pręsentis quidem pri
τῶν δὲ παθητικῶν τοῦ μὲν ἐνεστῶτος τὸ πρῶ
ma persona fit a ꝓprio acti
τον πρόσωπον γίνεται ἀπὸ τοῦ ἰδίου ἐνεργη
uo mutatione in et correptione pe
τικοῦ τροπῇ τῆς μι εἰς μαι, καὶ συστολῇ τῆς πα
nultimę in propriā principalem vocalē. vt:
ραληγούσης εἰς τὸ ἴδιον ἀρκτικὸν φωνῆεν. οἷον,
pono: ponor. statuo: statuor. do: dor.
τίθημι, τίθεμαι. ἵστημι, ἵσταμαι. δίδωμι, δίδο=
iungo: iungor. Vba enim in in
μαι. ζεύγνυμι, ζεύγνυμαι. τὰ γὰρ εἰς μι ἐπὶ τῶν
dualibus et pluralibus corripiunt pe
δυϊκῶν καὶ πληθυντικῶν συστέλλουσι τὴν πα
nultimam vt dictū est. pręter quędā secun
ραλήγουσαν. ὡς εἴρηται. πλὴν τινῶν τῆς δευ=
dę coniugationis quę in dualibus et plura
τέρας συζυγίας ἅπερ ἐπὶ τῶν δυϊκῶν καὶ πλη
libus secundorū indefinitorum custodi
θυντικῶν τῶν δευτέρων ἀορίστων φυλάττου=
unt penultimam longam. vt: statuistis duo.
σι τὴν παραλήγουσαν μακράν. οἷον, ἔστητον.
statuimus. et iuitis duo. iuimus. quorū iā et impera
ἔστημεν. καὶ ἔβητον. ἔβημεν. ὧν δὴ καὶ τὰ προσ=
tiua eadem longa penultimant. vt dictū
τακτικὰ τῇ αὐτῇ μακρᾷ παραλήγεται. ὡς εἴρη=
est. vt: statuito: statuito. ito: ito. Secunda
ται. οἷον, στῆθι, στήτω. βῆθι, βήτω. τὸ δὲ δευ



VNiVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

vero a prima mutatione in
τερον ἀπὸ τοῦ πρώτου τροπῆ τῆς μαι εἰς σαι.
vt: ponor: poneris: et poneris. statuor: statueris:
οἷον, τίθεμαι, τίθεσαι, καὶ τίθη. ἵσταμαι, ἵστασαι,
et statueris. eiectione et contractione vocali
καὶ ἵστη. ἐκβολῆ τοῦ σ καὶ κράσει τῶν φωνηέν=
um in in prima et secunda coniugatio
των εἰς η ἐπὶ τῆς πρώτης καὶ δευτέρας συζυγί=
ne. in secunda enim persona singu
ας. ἐπὶ γὰρ τοῦ δευτέρου προσώπου τῶν ἑνι=
larium tertię et quartę coniugationis nõ fit
κῶν τῆς τρίτης καὶ τετάρτης συζυγίας οὐ γίνε=
contractio. vt: dor: daris. iungor:
ται κρᾶσις. οἷον, δίδομαι, δίδοσαι. ζεύγνυμαι,
iungeris. Tertia vero a secunda:
ζεύγνυσαι, τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου,
mutatione in vt: poneris: ponitur. statue
τροπῆ τοῦ σ εἰς τ. οἷον, τίθεσαι, τίθεται. ἵστα=
ris: statuitur.
σαι, ἵσταται.

Formatio preteriti iperfecti.

σχηματισμὸς τοῦ παρατατικοῦ.

Preteriti vero ipfecti prima fit a
τοῦ δὲ παρατατικοῦ τὸ πρῶτον γίνεται ἀπὸ
pprio presente mutatione in po
τοῦ ἰδίου ἐνεστῶτος τροπῆ τῆς μαι εἰς μην. τί=
nor: ponebar. statuor: statuebar. dor: da=
θεμαι, ἐτιθέμην. ἵσταμαι, ἱστάμην. δίδομαι, ἐδι
bar. iungor: iungebar.
δόμην. ζεύγνυμαι, ἐζευγνύμην.

Formatio secundi indefiniti.

σχηματισμὸς τοῦ δευτέρου ἀορίστου.

Secundi vero indefiniti ab eiusdẽ gene=
τοῦ δὲ δευτέρου ἀορίστου ἀπὸ τοῦ συνδιαθέ
ris eiusdẽ ordinis preterito ipfecto: eiectione pri
του συστοίχου παρατατικοῦ, ἐκβολῆ τῆς πρώ



mę syllabę que est per geminationem: vt
της συλλαβῆς τῆς κατὰ ἀναδιπλασιασμόν, ὡς
et in actiuis dictũ est. vt: ponebar:
καὶ ἐπὶ τῶν ἐνεργητικῶν εἴρηται. οἷον, ἐτιθέμην,
posit⁹ sum. dabar: datus sũ. Secunda vero
ἐθέμην. ἐδιδόμην, ἐδόμην. τὸ δὲ δεύτερον ἀ=
a prima: mutatione vltimę sylla
πὸ τοῦ πρώτου, ἀμοιβῆ τῆς ἐσχάτης συλλα=
bę in vt: ponebar: ponebaris. statuebar: statue
βῆς εἰς σο. οἷον, ἐτιθέμην, ἐτίθεσο. ἱστάμην, ἵστα
baris. dabar: dabaris. que iã et per cõtractionẽ ef
σο. ἐδιδόμην, ἐδίδοσο. ἃ δὴ καὶ κατὰ κρᾶσιν ἐκ
feruntur. vt: ponebaris. statuebaris. dabaris. preter quar
φέρεται. οἷον, ἐτίθου. ἵστω. ἐδίδου. πλὴν τῆς τε
tam coniugationem. Tertia vero a secũ=
τάρτης συζυγίας. τὸ δὲ τρίτον ἀπὸ τοῦ δευ
da: mutatione in vt: ponebaris: ponebatur.
τέρου, τροπῆ τοῦ σ εἰς τ. οἷον, ἐτίθεσο, ἐτίθετο.
statuebaris: statuebatur. alię vero omnes similiter psonis
ἵστασο, ἵστατο. τὰ δ᾽ ἄλλα πάντα ὁμοίως τοῖς
passiuorum barytonorũ. preter in istis
τῶν παθητικῶν βαρυτόνων. πλὴν ἐπὶ τούτων
ppria principalis vocalis per totũ custoditur.
τὸ ἴδιον ἀρχικὸν φωνῆεν δι᾽ ὅλου φυλάττεται.

## Θεοδώρου γραμματικῆς εἰσαγωγῆς τῶν εἰς τέσσαρα, τὸ τέταρτον.

Λοιπὸν δὲ περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν εἰπεῖν. γραμματικοῦ γὰρ καὶ ἡ περὶ ταῦτα θεωρία, καὶ τῆς γε τοιαύτης συντάξεως καὶ τοῦ λόγου ἕνεκα πραγματεύεται ὁ περὶ ἑκάστου τῶν ὀκτὼ τοῦ λόγου μερῶν σκεπτόμενος, ὡς ἔχει ἤτοι κλίσεως, ἢ σχηματισμοῦ, ἢ προσῳδίας, ἢ ὀρθογραφίας. καθάπερ καὶ ὁ διαλεκτικὸς τοῦ συλλογιστικοῦ λόγου ἕνεκα, περὶ ὀνόματος καὶ ῥήματος καὶ προτάσεως θεωρεῖ. λεκτέον τοίνυν καὶ ὅπως ἂν τὰ τοῦ λόγου μέρη ἀλλήλοις ὀρθῶς συντασσόμενα ἀποτελοίη τὸν λόγον. ἵνα τέλος ἡ εἰσαγωγὴ ἔχῃ. καὶ διαιρετέον ἀκριβέστερον ἕκαστα καὶ ὁριστέον ἐνταῦθα. Ὅρος στοιχείου. Ἀρκτέον δ' ἴσως ἀπὸ τοῦ πρώτου, οἷον τῶν στοιχείων. ταῦτα γὰρ ἡ πρώτη καὶ ἀμερής ἐστι τἀνθρώπου φωνή. οὐ γὰρ ὡς ἔτυχεν ἐπιπλέκεται ἀλλήλοις εἰς σύστασιν συλλαβῆς, ἀλλ' ὥς καὶ τοὔνομα δηλοῖ· στείχει τε καὶ εὐτάκτως κινούμενά πως συντάσσεται κατὰ λόγον. Διαίρεσις τῶν στοιχείων. Τῶν οὖν στοιχείων τὰ μὲν ἀφ' ἑαυτῶν τυγχάνει ἀποτελοῦντα φωνήν. οἷον, τὰ φωνήεντα καλούμενα. τὰ δὲ ψόφον. οἷον, τὰ σύμφωνα πάντα, φωνὴν δὲ οὔ, ἄνευ τῆς τῶν φωνηέντων ἐπιπλοκῆς. Τούτων δ' αὖ πάλιν τὰ μὲν ψοφεῖ ἀτελέστερον. οἷον τὰ ἄφωνα. τὰ δὲ τελεώτερον. οἷον, τὰ ἡμίφωνα. Συμπάντων δὲ τὰ μέν, προτακτικά. τὰ δέ, ὑποτακτικά.

Τῶν μὲν γὰρ φωνηέντων προτακτικά, ὡς ἐπὶ τῶν διφθόγγων τὰ α ε ο. ὑποτακτικὰ δέ, τὰ ι υ. προτακτικόν γε μὴν καὶ αὐτὸ τὸ υ τοῦ ι. ὡς ἐπὶ τοῦ μυῖα, καὶ υἱός, καὶ ἅρπυια, καὶ ἑτέρων πλειόνων. Τῶν δὲ συμφώνων προτακτικὰ μέν, ὡς οὐδαμοῦ ἐπὶ τέλει τασσόμενα λέξεως, τὰ δασέα καὶ τὰ ψιλὰ καὶ μέσα, τῶν ἀμεταβόλων τὸ λ καὶ μ, καὶ τῶν διπλῶν τὸ ζ. Καὶ τῶν μὲν δασέων τὸ φ καὶ χ ἐπιδέχεται τὸ θ. ἐχθρός, φθορά. ἀνάπαλιν δὲ οὔ. τούτοις δ' ὁμοίως καὶ τὰ ψιλά τε καὶ μέσα ἔχει. ἀκτίς. ἅπτω. ὄγδοον. βδέλλω. ὅτι μὴ ἡ τοῦ γδ σύνταξις ἐπὶ ὑποτακτικῆς συλλαβῆς μόνον. Ἔτι τὰ δασέα τοῖς ψιλοῖς τε καὶ μέσοις οὐδέποτε συμφέρεται προτασσόμενα. ὑποτασσόμενα δὲ τοῖς ψιλοῖς, καὶ ἐν διαστάσει. ἀτθίς. σαπφώ. ἴακχος. οὐκ ἔτι δὲ καὶ τοῖς μέσοις. Τῶν δὲ ἀμεταβόλων τὸ μὲν ν πρὸ τοῦ μ κεῖσθαι οὐ πέφυκεν ἐπὶ τῆς αὐτῆς λέξεως. διὸ καὶ ἐπὶ τοῦ κέκλιμαι, καὶ κέκριμαι, τὸ πρὸ τοῦ μ συμβαῖνον ν, ἀποβάλλεται. ἐπικεῖσθαι μέντοι κατ' ἄμφω. ὡς ἐπὶ τοῦ μνεία. ἀμνός. ἀνάπαλιν δὲ τὸ σ. οὐδέποτε γὰρ ὑποτακτικὸν τοῦ μ ἐπὶ τῆς αὐτῆς. καίτοι τοῦ λ καὶ ν, σπανίως μέντοι· ὡς ἐπὶ τοῦ ἅλς. καὶ τίρυνς. καὶ ἕλμινς. τοῦ δὲ ρ, εὖ μάλα. πέρσω. πυρσός. διὰ τὸ φωνήεντος δύναμιν ἔχειν τὸ ρ. αὐτὸ δέ τι ρ οὐκ ἔστιν ὅτου προτάσσοιτ' ἂν συντασσόμενον. ἔτι τῶν δασέων τὸ θ καὶ χ συζευγνύμενα τῷ μ, ἀποτελεῖ συλλαβὴν ὑποτακτικήν, προτακτικὴν δ' οὔ. ἀριθμός. αὐχμός. ὡσαύτως δὲ καὶ τῶν ψιλῶν τὸ κ. καὶ τῶν μέσων τὸ γ.

VNiVERSIDAD DE SALAMANCA
GREDOS USAL.ES

ἀκμή. ὄγμος. ταυτὸ δὲ τοῦτο συμβαίνει καὶ
πρὸ τοῦ δ τῷ γ. ὄγδοος. καὶ τῷ φ καὶ τ πρὸ
τοῦ ν. ἔτνος. ἀφνειός. ἔτι τὸ θ καὶ χ, τῶν μὲν λ καὶ
ν καὶ ρ τῶν ἀμεταβόλων, συντάσσεται προτι=
θέμενα εἴς τε προτακτικὴν συλλαβὴν εἴς τε ὑπο
τακτικήν, τῷ δὲ μ εἰς ὑποτακτικὴν μόνον ὡς εἴ=
ρηται. τὸ δὲ φ, ὁμοίως μὲν καὶ τὰ σύστοιχα πρὸς
τὸ λ καὶ ρ, εἰς μόνην δὲ ὑποτακτικὴν πρὸς τὸ ν,
ἄφνω. ἀσυλλήπτως δὲ πρὸς τὸ μ ἔχει πάντα πα
σι. καὶ τὰ ψιλὰ δὲ καὶ μέσα τοῖς ἀμεταβόλοις
συντάσσεται, ὥστε τὸ θ καὶ χ. πλὴν τοῦ π ἀσυμβάν
τως ἔχοντος πρὸς τὸ μ. καὶ πλὴν τοῦ τ ἀσυντά
κτου μὲν τῷ ν εἰς προτακτικὴν συλλαβήν, τὸ μ δὲ
προσλαμβάνοντος ὑποτακτικὸν ἐπ' ἄμφω. τμῆ
μα. ἀτμίς. καὶ πλὴν τοῦ β ἀσυντάκτως πρὸς τὸ
μ καὶ ν ἔχοντος ὅλως. καὶ πλὴν τοῦ δ τῷ μὲν μ
καὶ ἐπιπλεκομένου καὶ προπλεκομένου. δμώς.
ἄδμητος. τῷ δὲ λ μὴ δ' ὅλως οἷόν τε ὄντος συ=
νάπτεσθαι. καθόλου δὲ πᾶν σύμφωνον μετα
ξὺ ὂν δυοῖν φωνήεντοιν περὶ μίαν λέξιν, τῷ δευ
τέρῳ συλλαβιστέον. ἄγω. φέρω. καὶ ἐὰν μὴ ᾖ δὲ
μία λέξις, ἀλλὰ δύο, πάθῃ δὲ ἔκθλιψιν ἡ πρώτη,
τὸ πρὸ τῆς ἀποστρόφου σύμφωνον τῷ ἑπομέ
νῳ φωνήεντι συντακτέον. κατὰ ἐκείνου, κατ' ἐκεί=
νου. ἔτι ἐὰν τύχῃ κατ' ἀρχὴν λέξεως σύμφω=
νον συμφώνου ἡγησάμενον ἐν συλλήψει, οὐ=
δ' ἐν μέσῳ λέξεως συνθέτου χωρίζεται. καὶ ὅλως
τὰ κατ' ἀρχὴν λέξεως πρὸ ἑτέρων τῷ εἴδει συμφώ
νων πεφυκότα συντάττεσθαι, ταῦτα δὴ καὶ ἐν μέ
σῳ λέξεως εὑρίσκοιτ' ἂν ἐν συλλήψει. οἷον ὕ=
βρις, ὅτι καὶ βρέχω. ἀγρός, ὅτι καὶ γράφω. ὅ=

πλον, ὅτι καὶ πλέω. ὕμνος, ὅτι καὶ μνεία. ὅ=
σα δὲ μὴ, ἐν διαστάσει κεῖται ἀεί. οὔκουν τὸ ἐσ=
θλὸν ἐν συλλήψει. ὅτι οὐδὲ λέξις ἀπὸ τοῦ σθ
λ τυγχάνει τὶς ἀρχομένη. οὐδὲ τὸ ὄγδοον, ὅτι
οὐκ ἀπὸ τοῦ γδ ἀρχή. οὐδὲ τὸ ὄγκος, ὅτι οὐκ
ἀπὸ τοῦ γκ. ἔτι τὰ αὐτὰ σύμφωνα οὐδέποτε
ἐν συλλήψει. ἐκκόπτω οὖν καὶ ἔδδεισε καὶ κάβ=
βαλε καὶ τὰ τοιαῦτα, ἐν διαστάσει. ἔτι πᾶσα
συλλαβὴ εἰς σύμφωνον λήγουσα, καὶ τὴν ἑξῆς
ἔχει ἀπὸ συμφώνου ἀρχομένην. ἔτι οὐκ ἔστιν
εὑρεῖν τρία σύμφωνα ἀμέσως κείμενα, ὧν τὰ
δύο ταυτοδυναμεῖ. μετάθεσις. γίνεται δὲ καὶ
μετάθεσις τῶν στοιχείων. καρδία, κραδία. ἀτρα
πός, ἀταρπός. σφάγανον, φάσγανον. ὀλίγος,
λοιγός. καὶ πάθη συμβαίνει τοιαῦθ' ἅττα. τὸ μὲν
μακρὸν εἰς βραχέα διαλύεσθαι. ἦγε, ἔαγε. καὶ ἀ
νάπαλιν συναιρεῖσθαι. ἱερόν, ἱρόν, δίϊος, δῖος.
ταῦτά γε μὴν ἑτέρας ἂν θεωρίας εἴη. ὅρος συλ
λαβῆς. οὕτω μὲν οὖν τὰ στοιχεῖα πρὸς ἄλλη
λα ἔχοντα, συντίθησι διαφόρως τὴν συλλα=
βήν, σύλληψιν οὖσαν στοιχείων ἐναρμόστως
συνταττομένων. ὃν δὲ τρόπον ἡ τῶν στοιχεί
ων συμπλοκὴ οὐθὲν ἄτακτον ἔχει, οὕτω καὶ
αἱ συλλαβαὶ κατὰ λόγον ἀλλήλαις συνιοῦ=
σαι τὴν λέξιν ποιοῦσι. καὶ ἂν πάλιν αἱ λέξεις
τὸν λόγον. ὅρος λόγου. ἔστι γάρ=
τοι ὁ λόγος σύνταξις λέξεων ἐναρμόστως
συντιθεμένων διάνοιαν ἔχουσα αὐτοτελῆ.
ὅρος λέξεως. λέξις δὲ μέρος ἐλάχιστον τοῦ
κατὰ σύνταξιν λόγου. καὶ μέντοι καὶ πολλα
χῆ ὅμοιόν τι ἐπί τε τῶν στοιχείων, καὶ ἐπὶ τῶν
λέξεων, καὶ ἐπὶ τῶν λόγων ἐστὶν εὑρεῖν. δι=

VNiVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

πλασιάζεται γὰρ οὐ μόνον στοιχεῖον. ἵππος.
ἄλλος. ἀλλὰ καὶ συλλαβή. ἀλαλάζω. μεμέμη-
κα. προπροκυλινδόμενος. καὶ λέξις. ἆρες ἄρες. τὸ
ὁμήρου. καὶ ὦ κύκλωψ κύκλωψ. τὸ θεοκρίτου.
καὶ ἰοὺ ἰού. τὸ ἀριστοφάνους. καὶ λόγος. τοῦ
δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν, εἰ πυ
ρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ. τὸ ὁμή-
ρου. καὶ τὺ δ' ὦ δᾶς ἄρχεο πρᾶτος, ὦ δᾶς ἄρχεο
πρᾶτος. τὸ θεοκρίτου. πλεονασμός. Ετι
καθάπερ στοιχεῖόν ἐστιν ὃ οὐ πλεονάζει οὐ τὸ
αὐτό. στάχυς, ἄσταχυς. πνοή, πνοιή. τοῦτον,
τουτονί. οὕτω καὶ συλλαβή. λιπών, προλι-
πών, ἔτυμος, ἐτήτυμος. ἔφης, ἔφησθα. καὶ λέξις.
τοῦτο μὲν ἐν συνθέσει, τοῦτο δὲ ἐν παραθέσει.
βοῶν ἐπιβουκόλος ἀνήρ. χρυσοῦ δὲ στήσας
ὀδυσσεὺς δέκα πάντα τάλαντα. καὶ ἦ μάλα δὴ
τέθνηκε μενοιτίου ἄλκιμος υἱός. ἔνθα μὲν γὰρ
τὸ πάντα, ἔνθα δὲ τὸ μάλα πλεονάζον. τοιοῦ-
το δὲ καὶ τὸ ὀφθαλμοῖσιν ἴδωμαι. καὶ οἱ παρα
πληρωματικοὶ δὲ οὐθὲν πολλαχῆ εἰς ἔννοιαν
συντελοῦσι. καὶ λόγος. ἔοικέ τοι οὔτοι ἀεικές.
τὸ γὰρ οὔτοι ἀεικές, παρέλκον. καὶ ὅσσα οἱ αἶ-
σα γινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ.
πλεονάζει γάρ τὸ ὅτε μιν τέκε μήτηρ. ἔλλει-
ψις. Ετι στοιχείου μὲν ἔλλειψις. γαῖα, αἶα.
ἑκατέρωθεν, ἑκάτερθεν. πολλάκις, πολλάκι,
συλλαβῆς δὲ, ἀστράπτει, στράπτει. ἀμφιφο-
ρεύς, ἀμφορεύς. ἀπόλλωνα, ἀπόλλω. λέξεως
δὲ, εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.
ἐνδεῖ γὰρ τὸ ἐστίν. καὶ τὸ θεοκρίτου, ὁ δέ μοι
τὸ λαγωβόλον ἁδὺ γελάσας ὡς πάρος ἐκ μοι

σᾶν ξυνήιον ὤπασεν εἶμεν. ἐνδεῖ τὸ ὑπέσχετο.
λόγου δὲ ἔλλειψις, κἄπειτ' ἀπὸ ταῤῥοῦ τοὺς
θεοὺς ὑπερφρονεῖς, ἀλ' οὐκ ἀπὸ γῆς, εἴπερ. ἐλ
λείπει τὸ ἠβούλου ὑπερφρονεῖν. τοιοῦτο καὶ
τὸ εἰ μὲν κατέλυσάν τινα, εἰ δὲ μή, ἀνεκρούοντο
πρὶν εἰς χεῖρας ἐλθεῖν. ἐνδεῖ γὰρ τὸ εὖ εἶχεν. ὅ-
μοιον δ' ἂν εἴη καὶ τὸ τὸν ἅπαξ ῥηθέντα λόγον
δὶς καὶ τρὶς καὶ πολλάκις λαμβάνοντα ἀπὸ κοι
νοῦ ἐννοεῖν. οἷον, κόσμος ἀνθρώπῳ φρόνησις,
σωφροσύνη, δικαιοσύνη, ἀνδρία. πᾶσι γάρ τοι
προσυπακούεται τὸ κόσμος ἐστίν. ὑποτα
κτικὴ θέσις. Ετι ὡς ἐπὶ τῶν συλλαβῶν ἔστιν
ἃς ὑποτασσομένας μηδέποτε προτασσομένας
εὑρεῖν, οὕτω τοι καὶ ἐπὶ τῶν λέξεων. τὰ γὰρ ὑπο
τακτικὰ τῶν ἄρθρων καὶ αἱ ἐπιταγματικαὶ ἀν-
τωνυμίαι καὶ τὰ ὑποτακτικὰ τῶν ῥημάτων τοι
άδε. ταυτὸ δὲ τοῦτο καὶ ἐπὶ τοῦ λόγου. τοιοῦ
το γάρ τοι τὸ συνημμένον. εἰ περιπατεῖ σωκρά-
της, κινεῖται. διάλυσις καὶ συναίρεσις.
Ετι ὡς τὰ στοιχεῖα ἀνάλυσιν καὶ συναίρεσιν
πάσχει. οὕτω καὶ συλλαβή. πηλείδου, πηλεί
δαο. ἑρμέας, ἑρμῆς. καὶ λέξις, κατὰ ταῦρον ἐδη-
δὼς, ἤγουν, κατεδηδωκώς. κἀκ τοῦ ἐναντίου
λέξεις δύο εἰς μίαν. βαρυστενάχων καὶ δακρυ-
χέων. ἀντὶ τοῦ βαρὺ στενάχων καὶ δάκρυ χέ-
ων. καὶ λόγος. συντίθενται μὲν γὰρ συνδεδε-
μένοι ἀλλήλοις οἱ λόγοι. διήρηνται δὲ ἀσύνδε
τοι ὄντες. μετάθεσις. Καὶ μὲν δὴ καὶ συλ
λαβαὶ μετατίθενται τοῖς στοιχείοις ὁμοίως. κε
λάρυζα, λακέρυζα. κρυπτοκέφαλος, κεπτο-

VNIVERSIDAD DE SALAMANCA
GREDOS.USAL

κρύφαλος. καὶ λέξις. οἷον, εἴ τις θεὰς σεμνὰς τὰς
σεμνὰς θεὰς λέγοι. καὶ ἄπυρον θεῖον τὸ θεῖον ἄ-
πυρον. ἔνθα μὲν γὰρ τὸ σεμνάς, ἔνθα δὲ τὸ θεῖ-
ον προτάττειν σύνηθες. καὶ λόγος. οἷον, τὸ κα-
λούμενον πρωθύστερον. οἱ δ᾽ ἄνεσάν τε πύλας
καὶ ἀπῶσαν ὀχῆας. Δύναμις. Ἔτι ὃν τρό-
πον τῶν στοιχείων τὰ μὲν φωνήεντα τὰ δὲ σύμ-
φωνα, ταύτῃ καὶ τῶν λέξεων, τὰς μὲν οἷόν τε προ-
φέρεσθαι καθ᾽ αὑτάς. οἷον τὰ προστακτικὰ τῶν
ῥημάτων, καὶ τὰς κλητικὰς τῶν ὀνομάτων, καὶ
ἀντωνυμιῶν ἔσθ᾽ ὅτε. τὰς δὲ οὐκ ἔστιν ἄνευ ἑτέ-
ρου τοῦ προενεχθῆναι κατὰ διάνοιαν ἐντελῆ.
οἷον, προθέσεις τε καὶ συνδέσμους. αἱ γὰρ τοι-
αῦται λέξεις αἰεὶ συσσημαίνουσι προσκείμεναι
δηλονότι ἑτέροις. ὅθεν δὴ αἱ σημασίαι τούτων
μεταπίπτουσι πρὸς τὴν τῶν συναπτομένων
αὐτοῖς δύναμιν δηλονότι. οἷον, ἡ μετὰ ἕτερον
μὲν τῇ αἰτιατικῇ συναπτομένη, ἕτερον δὲ τῇ γε-
νικῇ. καὶ σὺν τοῖς ῥήμασιν ὁμοίως καὶ τοῖς συν-
δέσμοις. ἡ μὲν οὖν ἀλλήλοις ὅμοια στοιχεῖον
καὶ συλλαβὴ καὶ λέξις καὶ λόγος, εἰρήσθω ἐπὶ
τοσοῦτον. ἀνάλογον. Κοινὸν δ᾽ ἀνάλο-
γον λέξεως καὶ λόγου, τὸ τὸν μὲν λόγον πα-
ρὰ τὴν ποιὰν τῶν λέξεων σύνθεσιν ὀρθῶς ἔχειν
καὶ μή. τὴν δὲ λέξιν παρὰ τὴν τῶν συλλαβῶν
καὶ στοιχείων. ὅ, τε γὰρ βαρβαρισμὸς ἁμάρτη-
μα περὶ λέξιν ἐστίν. ὅ, τε σολοικισμὸς ἁμάρτη-
μα περὶ λόγον. βαρβαρισμός. καὶ τετρα-
χῶς μὲν ὁ βαρβαρισμός, τοσαυταχῶς δὲ καὶ ὁ
σολοικισμός. ἢ γὰρ ἐνδείᾳ βαρβαρίζων τὶς ἐ-
λέγχεται, δημοσθένους, δημοσθένου. γεγρά-

φασιν, γέγραφαν. ἢ πλεονασμῷ. αἰσχίνου, αἰ-
σχίνους. κοιμᾶ, κοιμᾶσαι. τοιοῦτο δὲ καὶ τὸ δι-
αιρούμενον φαύλως. κοῖλον, κόϊλον. ἢ μετα-
θέσει, κρόταφον, κότραφον. δίφρον, δρίφον. ἢ
ἐναλλαγῇ. φιάλη, φιέλη. ὕαλον, ὕελον. αἰνείου,
αἰνεία. καὶ περὶ προσῳδίαν. φίλος, φιλός. μι-
σθωτός, μίσθωτος. καὶ περὶ χρόνον τε καὶ
γραφήν. νῖκος τῷ ι, δέον τῇ ει. περὶ ὧν ἄρα καὶ εἴ-
ρηται πρότερον τὸ ὀρθόν. σολοικισμός.
Ὁμοίως δέ τοι καὶ ὁ σολοικισμός. ἢ γὰρ ἐνδείᾳ.
ἔρχονται πεδίοιο, ἐνδεῖ γὰρ ἡ διά. ἢ πλεο-
νασμῷ. ἐξ οὐρανόθεν. πλεονάζει γὰρ ἡ ἐξ. ἢ ἐ-
ναλλαγῇ. τόξων εὖ εἰδώς, ἀντὶ τοῦ τοξεύειν.
νέον δ᾽ ἐσαγείρατο θυμόν. ἀντὶ τοῦ νεωστί. ἀκτί-
νεσσιν ἐοικότες, ἀντὶ τοῦ ἐοίκασιν. τῷ τοι προ-
φρονέως ἐρέω, ἀντὶ τοῦ διό. εἴσω ἁλὸς εὐρέα
κόλπον, ἀντὶ τοῦ εἰς εὐρέα κόλπον. τοιοῦτο
δὲ καὶ τὸ τὰ παρεπόμενα τοῖς τοῦ λόγου μέρε-
σιν. οἷον, εἶδος. γένος. ἀριθμόν. σχῆμα. πτῶσιν.
ἢ ἐπιρρήματα. ἢ προθέσεις. ἢ τάξιν συνδέσμων.
καὶ συνδέσμους αὐτοὺς ἐναλλάσσειν. εἶδος
μέν. δῖα γυναικῶν καὶ μελάντερον ἠΰτε πίσσα.
γένος δέ. αἴθη θῆλυς ἐοῦσα. καὶ οὐκ ἂν ἐφ᾽ ἡμετέ-
ρων ὀχέων πληγέντε, ἀντὶ τοῦ πληγεῖσαι.
Ἀριθμὸν δέ. θέσπειαν γραῖάν τε, ἀντὶ τοῦ θεσπει-
αί. σχῆμα δέ. αὐτὰρ ἐγὼν ἐμὲ λύσσομαι,
ἀντὶ τοῦ ἐμαυτόν. πτῶσιν δέ. νεστορίδα δ᾽
μὲν οὔτασεν, ἀντὶ τοῦ νεστορίδων. καὶ ἀστρά-
πτων ἐπιδέξια, ἀντὶ τοῦ ἀστράπτοντα. καὶ δοι-
οὺς δ᾽ ἄρ᾽ ὑπήλυθε θάμνους ἐξ ὁμόθεν πεφυῶ-
τας, ὃ μὲν πτελέης, ὃ δ᾽ ἐλαίης. Διάθεσιν δέ. ὁρῶ

μαι, ἀντὶ τοῦ ὁρῶ. Πρόσωπον δέ. ὅσοι θεοὶ εἰσ' ἐν ὀλύμπῳ σοί τ' ἐπιπείθονται καὶ δεδμήμεθα. καὶ σφέτερον πατὲρ ὑμνείουσαι. ἀντὶ τοῦ ὑμέτερον. Χρόνον δέ. ἐγὼ δὲ κἄγω βρισηΐδα. ἀντὶ τοῦ ἄξω. περὶ ἐπιρρήματα δὲ σολοικισμὸς ἐξ ἀναλλαγῆς. εἴσω δόρπον ἐκόσμει. ἀντὶ τοῦ ἐντός. καὶ ἐγγύθεν ἱσταμένη. ἀντὶ τοῦ ἐγγύς. περὶ δὲ προθέσεις. εἰς ἀγαμέμνονα δῖον, ἀντὶ τοῦ πρὸς ἀγαμέμνονα. καὶ ὑπὸ ἴλιον ἦλθον, ἀντὶ τοῦ ἐπὶ ἴλιον. περὶ δὲ συνδέσμους. αὐτὸς μὲν ἐγὼ μενέω, ἀλλ' ἕταρον πέμπω, ἀντὶ τοῦ ἑταῖρον δέ. καὶ κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν, ἀντὶ τοῦ κρατερὸν γάρ. σολοικισμὸς δ' ἐκ μεταθέσεως. ὡς τὸ μενάνδρου θυγάτριον. ἡ νῦν ἡμέρα δίδωσί μοι ἢ δόξαν ἤτοι διαβολήν. τὸ γάρ τοι ὀρθῶς ἔχον, ἤτοι δόξαν ἢ διαβολήν. ταῦτά γε μὴν πάντα εἰ καὶ τοῖς ποιηταῖς σχήματα τἄττα ἐστίν, ἡμῖν μέντοι ὡς ὑποδείγματα κείσθω τοῦ περὶ τὸν πεζὸν λόγον σολοικισμοῦ.

Ἐπεὶ δὲ περὶ λόγου συντάξεως καταλλήλου θεωροῦμεν, περὶ αὐτοῦ πρότερον τοῦ καταλλήλου ῥητέον κοινῇ. εἶτα περὶ ἕκαστα τῶν μερῶν ἰδίᾳ θεωρητέον τὸ ὀρθόν τε καὶ μή. Ἐστι μὲν οὖν οὐκ ἐν τοῖς ὑποκειμένοις τὸ ἀκατάλληλον καὶ μή, ἀλλ' ἐν τῇ συντάξει τῶν λέξεων. αἷς παρέπεται τὸ μεταποιεῖσθαι εἰς τὸ δέον. εἰ οὖν ὑπούσης θηλείας λέγοι τίς, αὕτη μὲ ἔτυψαν, σολοικίζει διὰ τὸ ἀκατάλληλον τῶν λέξεων, κἂν ἀληθεύει τῷ γένει. εἰ μέντοι, οὗτός με ἔτυψεν, οὐθὲν ἁμαρτάνει. ἔχει γὰρ τὸ τοῦ καταλλήλου δέον ὁ λόγος. ὥστε αἱ λέξεις ἀναμεμερισμέναι εἰς θέσεις ἰδίας, τὰ ὁπωσοῦν παρεμπίπτοντα εἰς οὐκ ἐπιβάλλουσαν θέσιν, ἐλέγχουσιν διὰ τῆς παρ' ἑαυτῶν ἀκολουθίας. Τῶν τοίνυν τοῦ λόγου μερῶν, ἃ μὲν εἰς ἀριθμοὺς καὶ γένη καὶ πτώσεις μετασχηματιζόμενα, ἃ δὲ εἰς πρόσωπα καὶ ἀριθμούς, ἃ δὲ μηθὲν ἐπιδεχόμενα τοιοῦτόν τι, ἀλλὰ καθ' ἕνα μόνον σχηματισμὸν ἐκφερόμενα. ταῦτα δὴ μεταληφθέντα ἐξ ἰδίων μετασχηματισμῶν εἰς τὰς δεούσας ἀκολουθίας ἀριθμῶν ἢ προσώπων ἢ γενῶν, τῇ τοῦ λόγου συντάξει ἀναμεμέρισται εἰς ἐπιπλοκὴν τοῦ πρὸς ὃ φέρεσθαι ἕκαστον δεῖ. οἷον, εἰ οὕτω τύχοι πληθυντικὸν πρὸς πληθυντικὸν κατὰ τὴν τοῦ αὐτοῦ προσώπου παρέμπτωσιν. γράφομεν ἡμεῖς. μανθάνουσιν ἄνθρωποι. τὸ γὰρ ἐν μεταβάσει τοῦ προσώπου οὐ πάντως ἀπαιτήσει τὸν αὐτὸν ἀριθμόν. ἔστι γὰρ φάναι, καὶ τύπτουσι τὸν ἄνθρωπον, καὶ τύπτουσι τοὺς ἀνθρώπους. κατὰ πτῶσιν. ὁ αὐτὸς δὲ λόγος κἀπὶ τῶν κατὰ γένος ἢ πτῶσιν ἢ πρόσωπον λαμβανομένων. ἔτι γὰρ καὶ τὸ ἐν μεταβάσει ἀδιαφορεῖ. ἡμῶν αὐτὸς ἀκροᾶται. καὶ οὖν εἰ συνέλθοι κατὰ τὴν αὐτὴν πτῶσιν, ὑποπεσεῖται εἰς τὸ αὐτὸ πρόσωπον. ἡμῶν αὐτῶν ἀκροῶνται. εἰ μὴ παρέμπτωσις συνδεσμικὴ τὸ πρόσωπον διαστήσει. ἡμῶν καὶ αὐτῶν ἀκροῶνται. κατὰ γένος. ὡσαύτως δὲ κἀπὶ τῶν γενῶν. οὗτοι οἱ ἄνδρες. τούτους τοὺς ἄνδρας. πάλιν γὰρ τὸ ἐν μεταβάσει τοῦ προσώπου ἀδιαφορήσει καὶ κατὰ γένος, καὶ κατὰ ἀριθμόν. τούτους γυνὴ ὕβρισεν.

κατὰ πρόσωπον. καὶ ἐπὶ προσώπου. ἐκεῖνος πατὴρ ὢν ἐπιμελεῖται τοῦ παιδός, ἀλλὰ δὴ καὶ σοῦ καὶ ἐμοῦ. εἴπερ οὖν μὴ ἐπισυμβαίνοι τῇ λέξει τὸ τὴν διάκρισιν δυνάμενον φανερῶς



VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

ποιεῖσθαι, ἀδιαφορήσει τὸ ἐπιπλέκεσθαι διαφόροις τῷ γένει ἢ τῇ πτώσει ἢ τῷ ἀριθμῷ ἢ τῷ προσώπῳ ἢ τοιούτῳ τινί. ἀνέλεγκτα γὰρ οὕτω τὰ τοῦ μετασχηματισμοῦ γίνεται. καλῶς γράφω, γράφεις, ἔγραψα. δῆλον γὰρ ὅτι κατάλληλος πάντη ἡ σύνταξις. ἡ γὰρ τοῦ ἐπιρρήματος σύνοδος μὴ οὖσα δεκτικὴ ἀριθμῶν ἢ προσώπων ἢ πτώσεων ἢ χρόνων, ὧν παραδέχεται τὸ ῥῆμα, ἀκώλυτον τὴν ἐπιπλοκὴν ἴσχει, καὶ ἥκιστα ἔκ του ἐλεγχομένην ὁμοειδοῦς. οὐκ ἔτι δὲ ταυτὸ συμβαίνει καὶ ἐπὶ τοῦ καλός. προσώπου γὰρ τρίτου ἀριθμοῦ ἑνικοῦ τουτί. ὅθεν καὶ πρὸς ἑνικὸν τὸ γράφει ἡ σύνταξις. καλὸς γράφει. καὶ αὖ πάλιν ἐπεὶ τὸ καλὸς οὐ παρέμπτωσιν χρόνου σημαίνει, ἀδιαφορεῖ χρόνοις συνταττόμενον διαφόροις. καλὸς γράφει, ἔγραψε, γράψει. κατὰ ἐπίρρημα. ἔτι τῶν ἐπιρρημάτων τὰ εἰς διαφόρους ἀναμεριζόμενα χρόνους, προσώποις μὲν διαφόροις καὶ ἀριθμοῖς συντάσσεται, χρόνοις δ' οὔ. κατέβην χθές, κατέβης, κατέβη. καταβαίνει δὲ ἢ καταβήσομαι οὔ. ὡσαύτως δὲ καὶ ὅσα σημαινόμενον ἐπιδέχεται ἐγκλίσεως. οἷον, εἴθε, ἄγε. ἡ γὰρ προστακτικὴ ἀνεπίπλοκος τῇ εὐκτικῇ. τἄλλα δὲ σημασίας ἀμοιροῦντα τοιαύτης, ἀκώλυτον ἔχει ἐπὶ πασῶν τῶν ἐγκλίσεων τὴν σύνταξιν. κατὰ σύνδεσμον. καὶ οἱ σύνδεσμοι δὲ οὐδὲν τῶν εἰρημένων τεμνόμενοι, ἀδιαφόρως τὰς συνδέσεις ποιοῦνται πρὸς διάφορα γένη ἢ πτώσεις ἢ πρόσωπα. εἴ γε μὴν καὶ ἐπ' αὐτῶν γένηταί τις ἐν μέρει διαφορά, κἂν τὰ περὶ τὴν σύνταξιν σώζοιτο. οἷον, ὁ ἂν ὅτι τὰ μὴ γεγονότα ἀναιρῶν, θέλει περιστᾶν αὐτὰ εἰς τὸ δύνασθαι. ὅθεν ἄρα καὶ δυνητικὸς εἴρηται. διὰ τοῦτο πα-

ρῳχημένοις συντάσσεται, πλὴν τοῦ παρακειμένου. εἰ οὖν τις λέγοι γράψω ἄν, ἀκαταλλήλως συντάξει. κατὰ ἀντωνυμίαν. Ἔτι ἐπὶ τῶν ἀντωνυμιῶν τὸ ἐμοὶ ἐπὶ τρίτου οὐ τίθεται, ὡς διελεγχόμενον ἂν ὑπὸ τοῦ συζύγου τοῦ οἱ. δῆλον δ' ὅτι οὐδὲ τὸ οἱ ἐπὶ πρώτου διὰ τὸν αὐτὸν λόγον. ἥ γε μὴν αὐτὸς τρίτου οὖσα, καὶ πρώτῳ καὶ δευτέρῳ συντάττεται. ὅτι οὐδὲν ἀκόλουθον πρόσωπον κατὰ συζυγίαν ὑπάρχει, ὃ ἂν τὸ ἀλλότριον συνελέγξειεν, αὐτὸς οὖν ἐγώ. αὐτὸς σύ. ὅλως γὰρ οὐθὲν συμβαίνει ἁμάρτημα περὶ τὰ ἐν ἀκολουθήσει ὡρισμένῃ μὴ ὄντα, γινόμενα δὲ μὴν ἔκ του ἀκόλουθα, οὐκέτι παρὰ τὸ δέον συνοισθήσεται. οὐκοῦν τὸ ἑαυτοὺς ἐπὶ πρώτου ἐν κακῇ, οὐ γὰρ ὑπὸ τοῦ ἐμαυτοὺς διελέγξεται. τὸ ἑαυτὸν δ' ἴσως. ἔστι γὰρ καὶ τὸ ἐμαυτόν. οὔτε μὴν τὸ σὺ ἢ ἐγὼ ἐπὶ διαφόρων γενῶν φαύλως. οὐ γάρ τοι διακριτικὸν γένους. σὺ οὖν αὐτός. σὺ αὐτή. ἐγὼ αὐτός. ἐγὼ αὐτή. ῥήματα. Ὁ αὐτὸς δὲ κἀπὶ τῶν ῥημάτων λόγος. αἱ γοῦν κυρίως ἐγκλίσεις εἰς πρόσωπα καὶ ἀριθμοὺς μερισθεῖσαι, τὸ ἀκατάλληλον συνελέγχουσι δι' ἀριθμῶν καὶ προσώπων. ἡ δ' ἀπαρέμφατος ἀμοιρήσασα τούτων, ἐπὶ πάντα πρόσωπα καὶ ἐπὶ πάντας ἀριθμοὺς ἐπιβάλλει. γράφειν ἐμέ, ὑμᾶς, σέ, ἡμᾶς. χρόνου γε μὴν καὶ διαθέσεως οὐκ ἀμοιροῦσα, παρὰ τὴν τούτων ἐναλλαγὴν τὸ ἀκατάλληλον ἐμφανίζει. μετοχαί. δῆλον ταυτὸ τοῦτο καὶ ἐκ τῶν μετοχῶν. αἷς μετουσία γένους καὶ πτώσεως καὶ ἀριθμοῦ. οὐ μὴν δὲ καὶ προσωπικῆς διακρίσεως καὶ ψυχικοῦ τοῦ βουλήματος. διὸ δὴ καὶ περὶ τὰ μὴ προσόντα ταῦτα οὐθὲν φαῦλον συμβαίνει.



VNiVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

γράψας ἀνέστην, ἀνέστης, ἀνέστη, ἀναστῆθι, ἀναστάίην. Ὀνόματα. ἔτι τὸ ἔλεγον καὶ τὰ ὅμοια ἑνικὰ ὄντα διὰ τὸ συμπίπτειν τῷ τρίτῳ πληθυντικῷ καταλλήλως συντάσσεται τῷ πληθυντικῷ. ἔλεγον ἐκεῖνοι. ὑπεξαιρείσθω τὰ δωρικά. ἡ γὰρ ἐν αὐτοῖς καταβιβαζομένη ὀξεῖα ἀφίστησι τὴν πρὸς τὸ ἑνικὸν σύμπτωσιν. ὀνόματα. ὁμόλογον δὲ καὶ τὸ τὰ συμπίπτοντα ἤτοι κατὰ γένος ἢ καθ' ὁτιοῦν ἀφίστασθαι τοῦ ἀκαταλλήλου. οἷον, σοφὸς ἡ θεός, καὶ ὅλως τὰ τριγενῆ. τὸ μὲν γὰρ θεὸς σαφὲς κἂν πρὸς θηλυκὸν τάσσηται. τὸ δὲ κλυτὸς καὶ ἄγριος ὄν. ὅθεν ἐναλλαγὴ τὸ κλυτὸς ἱπποδάμεια. μετοχή. ὁμόλογον δὲ καὶ τό, τὸ γράφων συντάττεσθαι παρατατικῷ. ἢ δῆλον ὅτι συνέμπτωσιν παρατατικοῦ ἐπιδέχεται. γράφων ἔχαιρον. ἀπαρέμφατον. καὶ τὸ ἀπαρέμφατον δὲ γράφειν, μεταληφθὲν ἐξ ἐνεστῶτος καὶ παρατατικοῦ, κατάλληλον ἀποτελεῖ λόγον ἐν συντάξει τῶν τοιούτων ἐπιρρημάτων. συνέβη χθὲς γράφειν σωκράτει. συμβαίνει σήμερον γράφειν σωκράτει. διάθεσις. δῆλον δέ τοι καὶ ἐπὶ διαθέσεως. τὰ γὰρ καλούμενα μεσότητος ῥήματα συνέμπτωσιν ἀναδεχόμενα ἐνεργείας καὶ πάθους, οὐθὲν παρὰ τὰς διαθέσεις ἁμαρτάνεται. πρόσωπον. καὶ ἐπὶ συμπτώσεως δὲ προσώπου δῆλον ταὐτόν. τὸ γὰρ νικῶ κατάλληλον μὲν ἐπὶ πρώτου ὁριστικοῦ καὶ τρίτου εὐκτικοῦ. ὡς ἔχει τὸ παρ' ἀλκμᾶνι, νικῷ δ' ὁ κάρρων. ἀκατάλληλον δὲ ἐπὶ δευτέρου ὁριστικοῦ. ἢ τὸ δεύτερον νικᾷς. τὸ μὲν οὖν κατάλληλόν τε καὶ μὴ τῆς συντάξεως οὕτω πως ληπτέον. καὶ ὅτι τὸ μεταβατικόν, καὶ ὅλως τὸ πρὸς ἕτερον τῶν μερῶν, πρὸς γὰρ τὰς

διαφόρους τούτων δυνάμεις, διάφορα καὶ τὰ τῆς συντάξεως. ὡς ἐν τοῖς καθ' ἕκαστα ἔσται δῆλον. Τί τὸ εὖ συντάττειν. Διὸ καὶ εἴη ἂν τὸ εὖ συντάττειν καταλλήλως ἐπιπλέκειν πρὸς ἄλληλα τὰ τοῦ λόγου μέρη, ὡς ὁ λόγος ὀρθῶς λέγει. καὶ τοὐναντίον τὸ σολοικίζειν. ἁμαρτία γὰρ περὶ σύνταξίν τε καὶ φράσιν ὁ σολοικισμός. τὸ δὲ ὀρθὸν ἐν τοῖς παρ' ἐνδοξοτέροις τῶν λογίων ὡς ἐπὶ τὸ πολὺ λεγομένοις. ἐκ τούτων γὰρ καὶ περὶ τούτων ἡ γραμματικὴ θεωρία καὶ μέθοδος. περὶ ὀνόματος. Τῶν δὲ τοῦ λόγου μερῶν τὰ πρωτεῖα εἴληχε τοὔνομα καὶ ῥῆμα. τῶν μὲν γὰρ ἄλλων χωρὶς γίγνοιτ' ἂν λόγος τέλειος. ἄνευ δὲ τουτωνὶ οὐκ ἂν γίγνοιτο. διαφερέτω δὲ μηθὲν ὄνομα λαβεῖν ἢ ἀντωνυμίαν. Ὅρος ὀνόματος. Ἔστι δὲ τοὔνομα μέρος λόγου πτωτικὸν σημαντικὸν ἄνευ χρόνου. εἴδη δὲ τούτου τὰ μὲν κατὰ φωνήν, τὰ δὲ κατὰ σημασίαν. κατὰ μὲν φωνήν, πρωτότυπον καὶ παράγωγον. κατὰ δὲ σημασίαν, κύριον, προσηγορικόν, ἐπίθετον, καὶ ὅσα εἴρηται πρότερον. διήρηται δὲ καὶ τὰ τοῦ παραγώγου εἰς πατρωνυμικόν, κτητικόν, κυγκριτικόν, ὑπερθετικόν, ὑποκοριστικόν, παρώνυμον, καὶ ῥηματικόν. κύριον. Ἔστι δὲ κύριον τὸ τῆς πρώτης καὶ κατὰ μέρος οὐσίας σημαντικόν. οἷον, σωκράτης. πλάτων. προσηγορικόν. προσηγορικὸν δέ, τὸ τῆς δευτέρας καὶ καθόλου οὐσίας. οἷον, ἄνθρωπος. ἵππος. ἐπίθετον. ἐπίθετον δέ, τὸ κατὰ κυρίων ἢ προσηγορικῶν λεγόμενον. οἷον, ἀνδρεῖος, ταχύς. σύνταξις ἐπιθέτου. Τοιοῦτο δ' ὂν τὸ ἐπίθετον, οὐ μόνον ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως τοῖς κυρί-

οἷς καὶ προσηγορικοῖς πρόσκειται, ἀλλὰ καὶ πλα
γίως συντάσσεται ὀνομάτων ἑτέρων αἰτιατικῇ. ἡ
γὰρ τῆς δοτικῆς χρῆσις οὐ πάνυ τοι ἀκριβής. ὑγι
ὴς οὖν τὸ σῶμα. καὶ λευκὸς τὴν τρίχα. καὶ πυρὸς
τοὺς ὀφθαλμούς. ἐνάρθρως. καὶ τὰ μὲν ἐνάρ
θρως, τὰ δὲ ἀνάρθρως. ἐνάρθρως μὲν, ἔνθα ἡ τοῦ ὑ
παρκτικοῦ μετοχὴ ἀποῦσα, ὅμως ἐπινοεῖται. οἷ
ον ὁ ἀγαθὸς σωκράτης φιλοσοφεῖ. τὸ γὰρ ἐντελὲς
ἦν, ὁ σωκράτης ὁ ὢν ἀγαθός. ὥστε εἰ καὶ τὸ κύριόν
γε προτάττοιτο, οὐδ᾽ οὕτως ἄνευ ἄρθρου τὸ ἐ=
πίθετον λέγοιτ᾽ ἄν. ὁ σωκράτης γάρ τοι ὁ ἀγαθὸς
φαμὲν, ἑκατέρῳ τῶν ὀνομάτων ἄρθρον συνάπτον
τες. οὕτω γὰρ συμβαίνειν ἀνάγκη προηγουμένου
τοῦ κυρίου ἢ προσηγορικοῦ. ἀνάρθρως δέ τοι
προφέρεται, ἔνθα τὸ ὑπαρκτικὸν αὐτὸ ῥῆμα μόνον
ἢ λεγόμενον ἢ νοούμενον. σωκράτης ἀνὴρ ἀγα=
θός. ἀριστοτέλης σοφός. ταῦτά γε μὴν καὶ εἰς ἔναρ
θρον γενικὴν πληθυντικοῦ μεταβάλλειν οὐθὲν ἂν
κωλύοι. σωκράτης τῶν ἀγαθῶν ἦν. ἀριστοτέλης
τῶν σοφῶν. τὰ μὲν οὖν κύριά τε καὶ προσηγορικὰ
ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως
σφίσι τὰ ἐπίθετα ἴσχει. συμπαρειλήφθω δὲ τού
τοις καὶ τὰ ὁμώνυμα, ὧν ὄνομα μὲν κοινόν, ὁ δὲ κα
τὰ τοὔνομα λόγος τῆς οὐσίας διάφορος. καὶ
τὰ συνώνυμα, ὧν τό, τε ὄνομα καὶ ὁ λόγος κοι=
νόν. καὶ τὰ ἔθνους δηλωτικά. καὶ τὰ περιεκτι=
κά. οἷον τὰ ἅμα δηλοῦντα τὸ περιέχον καὶ τὸ πε=
ριεχόμενον. οἷον, δαφνών. κοιτών. καὶ τὰ μιμητι
κῶς πρὸς τὰς τῶν ἤχων ποιότητας πεποιημένα.
καὶ πρὸς τούτοις τὰ γένους ἢ εἴδους σημαντικά.
καὶ τὰ ἀπολελυμένα, οἷον τὰ καθ᾽ ἑαυτὰ νοούμε=

να. θεός. λόγος. περὶ δὲ τῶν λοιπῶν κατὰ σημα
σίαν εἰδῶν ποίαν τινὰ σύνταξιν ἔχει, λέγωμεν. τὰ
μὲν οὖν πρὸς ἕτερον ἀεὶ θεωρούμενα, καὶ διὰ τὴν
τοιαύτην σχέσιν ὀνομαζόμενα πρός τι, καθ᾽ ὑπερο
χὴν μὲν ὄντα ἢ καθ᾽ ὑποταγήν, ἀπὸ εὐθείας εἰς γε
νικήν, τῶν πρὸς ἃ ἡ σχέσις ἀποδίδοται. οἷον πα
τήρ, υἱοῦ. δοῦλος, δεσπότου. διπλάσιον, ὑπὸ δι
πλασίου. ὡσαύτως δὲ καὶ κατὰ διαφορὰν λε=
γόμενα. οἷον, ἄλλο. ἕτερον. διάφωρον. καλείσθω
δὲ διαφορικά. ἐξ ἴσου δὲ ὄντα, ἀπ᾽ εὐθείας πρὸς δο
τικήν. ὡς τὸ φίλος τῷ δεῖνι. καὶ ἴσος. καὶ γείτων.
καὶ ὅμοιος. καὶ ὁ αὐτός. καὶ ὁ ἐναντίος. καὶ ὅσα ἐκ
τοῦ ὁμοῦ ἢ τῆς σὺν τυγχάνει συγκείμενα. οἷον, ὁ
μοούσιος. ὁμοφυής. σύμψηφος. σύνεδρος. τὸ δὲ
πρὸς γενικὴν ταῦτα συντάσσειν κτητικοῦ ἂν ἔη,
οὐ τοῦ περὶ τὸ πρός τι ἐτύμου. ὡσαύτως δὲ καὶ
τὰ ἀπὸ τοῦ ὁμοίου καὶ ἴσου καὶ τῶν τοιούτων. οἷ
ον, ὁμοιοσχήμων, ἰσοπαλής. ὡς πρός τι. τὰ
δὲ ὡς πρός τι οἷον τὰ ἀμέσως ἀντικείμενα, διεζευ=
γμένως ἀλλήλοις συντάσσεται. ἤτοι ἡμέρα ἐστίν,
ἢ νύξ. ἢ φῶς, ἢ σκότος. ἢ ζωή, ἢ θάνατος. ἢ νόσος, ἢ
ὑγίεια. πευστικά. τὰ δὲ πευστικὰ οἷον τὰ ἀ=
πόκρισιν ὡρισμένως ζητοῦντα, ἥκιστα ἄρθροις
συντάσσεται ἐπ᾽ ἐρωτήσει ἀρκτικῇ λόγου. ὅτι τὸ
μὲν πύσμα, ἀγνοοῦντος. τὸ δὲ ἄρθρον, ἀναφέρον
τος. τίς. ποῖος. πότερος. πόστος. πόσος πηλίκος.
ποδαπός. ποσταῖος. ἐπανερωτήσει δέ τοι τοῦ εἰ
ρημένου καὶ ἐνάρθρως ἔσθ᾽ ὅτε. οἷον τὰ ποῖα λέγεις;
τὸν τίνα λέγεις; καὶ ὁ τίς ἐρωτᾷς; συνάπτεται δὲ τὰ
ἐρωτηματικὰ ταῦτα καὶ μάλιστα τὸ τίς, τῶν ῥημά
των τοῖς ὑπαρκτικοῖς τε καὶ κλητικοῖς, ἐπαγομένου



VNiVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

τὲ ὀνόματος. καὶ εἰ ἀντωνυμία, ἐκ τρίτου πρόσκει-
ται. τίς ἐστιν οὗτος; ἢ τίς ὅδε καλεῖται; ὅτι σωκρά-
της. καὶ ἐλλειπτικῶς τοῦ ὑπαρκτικοῦ. τίς οὗτος;
εἴ γε μὴν τὸ τίς τάττηται μόνον, παντὶ ῥήματι συντά-
ττεσθαι δυνατὸν ἂν εἴη. τίς βαδίζει; τίς διαλέγε-
ται; καὶ εἰ μὲν ἀντωνυμία ἀποδοθείη, ἥκιστ᾽ ἂν ἐπε-
ρωτήσεως δέοι. οἷον, τίς γράφει; ἐγώ. εἰ δ᾽ ὄνομα,
ἔτι δεῖ ἐρωτήσεως ἑτέρας, διὰ τὸ τοῦ ὀνόματος ὁ-
μώνυμον καὶ ἄλλως πολύσημον. τίς γράφει; ἡ-
σαΐας. τίς ἡσαΐας; ὁ νικολάου. διαπορητικῶς δὲ
ἐρωτῶν, πρὸς ὑποτακτικὸν συντετάξεται. πότε-
ρον σιωπῶ; τί λέγω; ὅλως τε ἡ ἐρώτησις ὑποτα-
κτικὸν τοῦ ῥήματος ἀπαιτεῖ. βούλει εἴπω; ἀόρι-
τα. καὶ τὰ μὴ δηλοῦντα δὲ ὡρισμένως μηθέν, καὶ
διὰ τοῦτο ἀόριστα προσαγορευόμενα, οὐ συν-
τάσσεται ἄρθροις. ὅστις. ὁποῖος. ὁπότερος. τὶς ἐγ-
κλινόμενον. τὸ δ᾽ ἐν τούτοις ἀρκτικὸν ο, οὐκ ἄρθρον
ἀλλὰ λέξεως μέρος. ἀναφορικά. τὰ δὲ ἀναφορι-
κὰ καὶ αὐτὰ ὡς τὰ πευστικὰ καὶ ἀόριστα ἐπί τε πο-
σοῦ καὶ ποιοῦ λέγεται. τοῖς τε κυρίοις καὶ προ-
σηγορικοῖς συντάσσεται ὁμοιογενῶς καὶ ὁμοιο-
πτώτως, καὶ ὁμοιώσεως ἢ δείξεως ἕνεκα. Ἔστι
δ᾽ ὅτε καὶ θαυμαστικῶς προφερερόμενα. καλεῖται
δ᾽ οὕτω διὰ τὴν διάνοιαν ἐπί τι ἀναφέρεσθαι τῶν
προεγνωσμένων. συμβαίνει γὰρ τὸ τοιοῦτο, ὅταν
τις λέγῃ. τοιοῦτος ἦν ἀχιλλεύς, οἷος αἴας. ταῦτα
μὲν οὖν εἴη ἂν ἀναπολητικά του τῶν προεγνωσ-
μένων, καὶ ὁμοιωματικά. δεικτικὰ καὶ ἀντα-
ποδοτικά. ἐξέστω δέ τοι ταυτὰ καὶ δεικτι-
κὰ καὶ ἀνταποδοτικὰ ὀνομάζειν. ὅτι πολλάκις
χρώμενοι τοῖς τοιούτοις δεικνύομεν ὁρῶντές
τι ὅμοιον. καὶ ὅτι πρὸς ἄλληλα ἀνταποδί-

δοται ἡγούμενα καὶ ἑπόμενα. κυρίως δ᾽ ἀνταπο-
δοτικά, τὰ ἔχοντα τὸ τ ἀρκτικόν. τοιοῦτος. τηλίκος.
τόσος. ἃ δὴ καὶ τῷ δε ἐπεκτείνεται. τοιόσδε. καὶ ἄρ-
θροις συντάσσεται. τά γε μὴν ἀπὸ φωνήεντος ἀρ-
χόμενα, οὐ συντάσσεται ἄρθροις. οὐ γὰρ ὁ οἷος
λέγομεν. οὐδὲ ὁ ὅσος. ἡγεῖται μὲν δὴ ἀλλήλων
ἐν τῇ συντάξει καὶ ἐπιφέρεται, ὡς εἴρηται. οἷον, αἴ-
θ᾽ ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτερος εἴην. καὶ ἀλ-
λ᾽ οὔτοι τόσοι ἦσαν ὅσοι ἑλίκωπες ἀχαιοί. καὶ χω-
ρὶς δὲ ἀναφορικοῦ λαμβάνεται τὰ ἀνταποδοτικὰ
ἀπολύτως, ἤτοι ἀποστηματικῶς ἢ θαυμαστικῶς.
τοίην κεφαλὴν ποθέω. πολλῷ δὲ μᾶλλον τὰ ἀνα-
φορικά, δίχα τῶν ἀνταποδοτικῶν. συμφορῶν γὰρ
πεπείραται οἵων οὐδεὶς φαμέν. καὶ σοφοῖς ἐνέτυ-
χεν οἵοις οὐδείς. καὶ πολέμους διήνυσεν ὅσους
οὐδείς. περιληπτικά. τὰ δὲ περιληπτι-
κά, οἷον τὰ δι᾽ ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαίνον-
τα, ἑνικοῖς καὶ πληθυντικοῖς συντάσσεται ῥήμασιν.
ὁ δῆμος εἶπεν. καὶ ὁ δῆμος εἶπον. καίτοι τἄλλα
πάντα τῶν ὀνομάτων ἑνικῶς μὲν προφερόμενα,
ἑνικοῖς συντάσσεται ῥήμασι. δυϊκῶς δέ, δυϊκοῖς.
πληθυντικῶς δέ, πληθυντικοῖς. πλὴν τῶν ἀττι-
κῶς συντασσομένων ἑνικοῖς οὐδετέρων πληθυν-
τικῶν. ἀττικοὶ γὰρ τὰς πληθυντικὰς τῶν οὐδετέ-
ρων ὀνομάτων εὐθείας ἑνικοῖς συντάσσουσι ῥή-
μασι. παίζει τὰ παιδία. κἂν ᾖ δὲ ἄττα τῷ μὲν
σχηματισμῷ πληθυντικά, τῇ δὲ σημασίᾳ ἑνικὰ ἢ
δυϊκά, ταῦτα τῷ μὲν σημαινομένῳ ῥήμασιν ἑνικοῖς
ἢ δυϊκοῖς οὐ χρὴ συντάττειν. τῷ δὲ σχηματισμῷ
πληθυντικοῖς. ἀθῆναι φιλοσοφίᾳ διέπρεπον. οὐ
διέπρεπε. καὶ ἀμφότεροι γράφουσιν. οὐ γράφε-

VNiVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

τόν. τὸ δ᾽ ἄμφω καὶ δύο δυϊκῶς ὡς τῇ σημασίᾳ, οὕτω καὶ τῇ φωνῇ δυϊκοῖς τε καὶ πληθυντικοῖς συντάσσεται ῥήμασιν. τὸ μέν, διὰ τὴν φυσικὴν σημασίαν. τὸ δέ, διὰ τὸ ἐμπεριέχεσθαι τῷ πληθυντικῷ ἀριθμῷ τὸ ἓν καὶ τὰ δύο. ἄμφω οὖν τρέχετον λέγομεν. καὶ ἄμφω τρέχουσιν. καὶ μὲν δὴ καὶ περὶ ἅπασαν λέξιν ἐπιθετικὴν ἀριθμοῦ χρώμεθα τῷ πληθυντικῷ πολλάκις. ὁ γὰρ εἷς λέγοι ἄν, ἡμεῖς ἐγράφομεν. ἀνάπαλίν γε μὴν ἑνικοῖς χρῆσθαι ἢ δυϊκοῖς ἀντὶ πληθυντικοῦ, φαῦλον. τὸ δ᾽ ὁμήρου, μήπως ὡς ἀψῖσι λίνου ἁλόντε πανάγρου ἀνδράσι δυσμενέεσσιν ἕλωρ καὶ κύρμα γένησθε, σχῆμα ποιητικόν ἐστι, καὶ τῷ πεζῷ λόγῳ ἄχρηστον. οὐ μὴν ἀλλ᾽ οὐδὲ δυϊκῷ πρὸς ἑνικὸν χρώμεθα. δυάδος γάρ τοι σημαντικὸν ἀεὶ τὸ δυϊκόν.

Τὰ μὲν δὴ περιληπτικὰ ταῦτα προσηγορικὰ ὄντα, ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως σφίσι τὰ ἐπίθετα σχηματίζει. ὁ εὐτυχὴς δῆμος. ἡ εὐδαίμων πληθύς. ἐπιμεριζόμενα. Τῶν δὲ ἐπιμεριζομένων τετραχῶς σχηματιζομένων, τὸ μὲν εἷς ἐκ δύο, ὡς ἕτερος. δύο καθ᾽ ἕνα, ὡς ἑκάτερος. εἷς ἐκ πολλῶν, ὡς ἄλλος. πολλοὶ καθ᾽ ἕνα, ὡς ἕκαστος. ἕτερον καὶ ἄλλο ἐπιδέχεται ἄρθρον. τὸ δ᾽ ἑκάτερον καὶ ἕκαστον, οὔ. πάντα δέ τοι πρὸς γενικὴν ἢ κτητικῶς ἢ διαφορικῶς. οἷον, ἕκαστον τῶν ζώων, ἕτερον τοῦ λίθου ἐστίν. ἐπιθετικῶς μέντοι καὶ ταῦτα ὁμοιογενῶς καὶ ὁμοιοπτώτως συντάσσεται τοῖς κυρίοις καὶ προσηγορικοῖς. τακτικά. καὶ τὰ τακτικὰ δέ, οἷον τὰ σημαντικὰ τάξεως, ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως τοῖς κυρίοις καὶ προσηγορικοῖς συντάσσεται. ὁ πρῶτος θεός. ἡ πρώτη

οὐσία. τὸ πρῶτον εἶδος. μετουσιαστικά.

Τὰ δὲ μετέχοντα οὐσίας τινός, καὶ ταύτῃ καλούμενα μετουσιαστικά, πρὸς τὰ κύρια καὶ προσηγορικὰ τὴν σύνταξιν καὶ αὐτὰ ἔχει ὡς τὰ ἐπίθετα. ξύλινος πίναξ. ὀστράκινον σκεῦος. ὁμοιογενῆ τέ ἐστι καὶ ὁμοιόπτωτα τοῖς ὑποκειμένοις. οὕτω μὲν καὶ τὰ κατὰ σημασίαν εἴδη. πατρωνυμικά.

Τῶν δὲ κατὰ φωνὴν τὰ μὲν ἀπὸ πατρὸς καὶ προγόνων ἐσχηματισμένα, καὶ πατρωνυμικὰ διὰ τοῦτο καλούμενα, κύριά τε δυνάμει ἐστίν. ὅθεν δὴ καὶ σύνταξιν τὴν αὐτὴν τοῖς κυρίοις ἔχει πρὸς τὰ ἐπίθετα. οἷον, πηλείδης γενναῖος. καὶ συντάσσειν δὲ τοῖς πατρωνυμικοῖς ἔξεστι τὰ κύρια τῶν παίδων αὐτῶν ὀνόματα τοῦ σαφοῦς χάριν, ἔνθα κοινὸν πλείοσιν ἡ πατρωνυμία. οἷον, ἀτρείδης μενέλαος. ὁ πριαμίδης ἕκτωρ. κτητικά. οὐ μὴν δὲ καὶ τὰ ὑποπεπτωκότα τῇ κτήσει ὡσαύτως. ἐμπεριείληπται γὰρ τοῖς τοιούτοις τὸ κεκτημένον. ἀλλ᾽ ἀνάγκη προσυπακούεσθαί τι. εἰ γάρ τις λέγων ἀνθρώπινον, μὴ ἐπιφέροι σῶμα ἢ τοιοῦτό τι, ἀτελὲς ἄν τι φράζοι. δεῖ τοίνυν προστιθέναι τι τῶν κυρίων ἢ προσηγορικῶν. συντάσσεται δὲ καὶ ταῦτα ὡς τὰ ἐπίθετα ὁμοιοπτώτως καὶ ὁμοιογενῶς τοῖς κυρίοις καὶ προσηγορικοῖς, τήν τε σύνταξιν τοῦ ἄρθρου ὁμοίως ἕξει τοῖς ἐπιθέτοις. ἡ ἰωνικὴ στολή. ἡ στολὴ ἡ ἰωνική. καὶ μεταλαμβάνοντι τὸ ἰωνικὸν τῆς στολῆς. ἀνάλυσίς τε εἰς τὴν τοῦ πρωτοτύπου γενικήν. τελαμώνιος υἱός. τελαμῶνος υἱός. τὸν ἐμὸν φίλον. τὸν φίλον μου. πλατωνικὴ δόξα. πλάτωνος δόξα. συγκριτικὰ καὶ ὑπερθετικά.

Τὰ δὲ συγκριτικά τε καὶ ὑπερθετικὰ κοινῇ μὲν πρὸς

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

τὰ ὑποκείμενα προσηγορικά τε καὶ κύρια ὧν κατηγορεῖται, συντάσσεται ὡς τὰ ἐπίθετα ὁμογενῶς καὶ ὁμοιοπτώτως. πρὸς ἃ δὲ ἔχει τὴν σύγκρισιν γενικὴν ἀπαιτεῖ. ἀχιλλεὺς ἰσχυρότερος αἴαντος. καὶ ἰσχυρότατος ἑλλήνων.

Διαφέρει δέ, ᾗ τὰ μὲν οὐ μόνον ἑνικοῦ ἀλλὰ καὶ πληθυντικοῦ εἴληχε γενικήν. τὰ δὲ ὑπερθετικά, πληθυντικοῦ μόνον. συγκριτικὸν μὲν γὰρ τὸ κατ᾽ ἐπίτασιν ἢ πρὸς ἓν λαμβανόμενον ἢ πρὸς πλείω. σωκράτης μελίσσου σοφώτερος, καὶ ἑτέρων ἐνδόξων.

ὑπερθετικὸν δὲ τὸ κατ᾽ ἐπίτασιν πρὸς πλείω ἀεί. σωκράτης ἑλλήνων σοφώτατος. τὸ δ᾽ ἄριστα ἑαυτοῦ διαλεχθῆναί τινα, λέγεται μέν, οὐ πρὸς τὸ πρόσωπον δὲ οὗ ἡ γενική, ἡ παράθεσις, ἀλλὰ πρὸς τὰς ἄλλας αὐτοῦ διαλέξεις. ὅλως οὖν ἄλλ᾽ ἄττα ἀεὶ τῶν περὶ τὸ πρόσωπον θεωρητέον. ἐν γὰρ τοῖς τοιούτοις τὸ ὑπερθετικόν. ὡς ἂν εἰ λέγοι τις, ἄριστα τῶν ἄλλων ἑαυτοῦ διαλέξεων.

καὶ τὰ μὲν οὐ μόνον πρὸς ὁμοφυὲς ἢ ὁμότεχνον ἢ συγγενές, ἀλλὰ καὶ πρὸς ἑτερογενές. Διονύσιος εὐφυέστερος δίωνος. ὅμηρος ὀρφέως σοφώτερος. δημοσθένης αἰσχίνου δεινότερος. διομήδης ἥττων ἀχιλλέως. αἴας ἰσχυρότερος τρώων. τὰ δὲ ὑπερθετικὰ πρός τι τῶν ὁμοίων καὶ συγγενῶν ἀεί. ἕκτωρ ἀνδρειότατος τρώων. τὸ δ᾽ ὁμήρου πρώτιστος καὶ τρίτατος σχῆμα μόνον ὑπερθετικοῦ ἔχει. καὶ τὰ μὲν συγκριτικά, καὶ τοῦ η μεσοσυλλαβοῦντος, καὶ μετ᾽ αὐτὸ πτώσεως ἧς καὶ τὸ συγκριτικὸν ἦν, ἐπαγομένης, συντάσσεται. οἷον, ἀρείοσιν ἤπερ ὑμῖν ἀνδράσιν ὡμίλησα. καὶ ἔτι μετὰ τὸ η τῆς κατὰ σὺν αἰτιατικῆ προσκειμένης. πλέον ἢ κατὰ ἄνθρωπον. καὶ μετὰ τοῦ ως ἔσθ᾽ ὅτε. οἷον, ὡς κατὰ ἄνθρωπον. καὶ μὴν καὶ πρὸς ἀπαρέμφατον λέγεται μεσοσυλλαβοῦντος ὁτὲ μὲν τοῦ η καὶ ἅμα τοῦ ὥστε ἀποστατικοῦ, ὁτὲ δὲ τοῦ η μόνου. οἷον, τὸ νόσημα μεῖζον ἢ φέρειν. καὶ ἢ ὥστε δύνασθαι φέρειν. τὸ δ᾽ ὑπερθετικὸν οὐδὲν τούτων προσλαμβάνειν ἐθέλει.

ἔτι τὰ μὲν ὑπερθετικὰ μεγίστην ἐπίτασιν ἔχοντα, οὐδὲν τῶν ἐπιτατικῶν δέχεται ἐπιρρημάτων. οἷον, λίαν, ἢ μάλιστα, ἢ τοιοῦτό τι. τὰ δὲ συγκριτικά, ἅτε μὴ τὴν τελεωτάτην ἐπίτασιν ἔχοντα, ἔσθ᾽ ὅτε δευτέραν ἐπιρρηματικὴν προσλαμβάνει ἐπίτασιν. οἷον τὸ ὁμήρου. πολὺ παυρότεροι καὶ ῥηΐτεροι δὴ μᾶλλον ἔσεσθε.

ἔτι τὸ ὑπερθετικὸν ἔστιν ὅτε καὶ πρὸς οὐδεμίαν ἀποδίδοται γενικήν. οἷον, ἕσπερος ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ. τὸ γοῦν ἀστὴρ ἀντὶ τοῦ ἀστέρων κατὰ μετάληψιν.

ἔστι δὲ ἃ καὶ ἀπολύτως λεγόμενα ὑπερθετικῆς τυγχάνει συντάξεως, δι᾽ ὑπεροχὴν ἐνυπάρχουσαν σφίσιν. οἷον, τὸ δῖα. καὶ ἔξοχος. καὶ κορυφαῖος. καὶ μόνος, δῖα γὰρ θεάων. καὶ μόνος ἁπάντων. καὶ κορυφαῖος καὶ ἔξοχος πάντων.

ἀνάπαλιν δ᾽ ἐνίοτε τοῖς συγκριτικοῖς ἀντὶ ἁπλῶν θετικῶν ἔστι χρήσασθαι. καί τι καὶ τοῦ θετικοῦ μετριώτερον βούλεσθαι ὁ λέγων δοκεῖ.

ὡς μὲν οὖν ὅλως εἰπεῖν, ἡ σύγκρισις ἐπὶ δυοῖν. ἐμφαίνεταί γε μὴν ἤτοι πρόσωπα μόνον, ἢ μετὰ τῶν προσώπων καὶ πρᾶγμα. εἰ μὲν γὰρ λέγοι τίς, ὅδε μοι γνωριμώτερος ἢ σύ, τρία τὰ πρόσωπα. εἰ δὲ ὅδε ἐμοῦ ἰσχυρότερος, δύο μὲν τὰ πρόσωπα, ἓν δὲ τὸ πρᾶγμα ἡ ἰσχύς. ὥστε καὶ καλείσθω τὸ μὲν. τῆς συγκριτικῆς συντάξεως, προσωπικόν. τὸ δέ, πραγματικὸν διὰ ταῦτα.

ὑποκοριστικά.

τὰ δὲ ὑποκοριστικὰ ἀπόλυτον ἔχει τὸ σχῆμα καὶ σημαινόμενον, μείωσιν ἀσυγκρίτως δηλοῦντα τοῦ πρωτοτύπου. σύνταξιν δὲ τὴν αὐτὴν τοῖς κυρίοις καὶ προσηγορικοῖς πρὸς τὰ ἐπίθετα ἔχει. ὁμοιογενῶς γὰρ καὶ ὁμοιοπτώτως. παρώνυμα καὶ ῥηματικά. τῶν δὲ παρωνύμων καὶ ῥηματικῶν ἰδία ὀνομασθέντων, ὡς ἀπὸ ὀνόματος ἢ ῥήματος ἐσχηματισμένων, ὅσα μὲν ἐστι κύρια ἢ προσηγορικά, ὁμοιογενῶς καὶ ὁμοιοπτώτως σφίσι τὰ ἐπίθετα συντασσόμενα ἔχει, ὡς εἴρηται. ὅσα δὲ ἐπίθετα, δῆλον ὡς ταύτῃ καὶ τὴν ἐπιθετικὴν λαμβάνοι ἂν σύνταξιν πρὸς τὰ κύριά τε καὶ προσηγορικά.

### Ἔτι περὶ τῆς τῶν ὀνομάτων συντάξεως συνοπτικώτερον.

Εἴη δ' ἂν καὶ εἰς τρία διελόντι τὸ ὄνομα, κύριον, καὶ προσηγορικόν, καὶ ἐπίθετον, περὶ τῆς κατ' αὐτὸ συντάξεως θεωρεῖν. πάντα γὰρ τἄλλα συντάσσοιτ' ἂν ἐπιθετικῶς τοῖς ὡς κυρίοις ἢ προσηγορικοῖς ὑποτιθεμένοις. καὶ κοινὸν μὲν ἂν εἴη τὸ ὁμοιογενῶς καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως συμφέρεσθαι τοῖς κυρίοις καὶ προσηγορικοῖς. ἴδιον δὲ τῶν μὴ ἀπολύτως ἀλλὰ πρὸς ἕτερον λεγομένων, τὸ ἢ εἰς γενικὴν ἢ εἰς δοτικὴν ἢ εἰς αἰτιατικὴν ἢ εἰς ἀπαρέμφατον. τετραχῶς οὖν. ὧδε δέ. τὰ μὲν συγκριτικὰ καὶ ὑπερθετικὰ πάντα εἰς γενικήν. διαφέρει δὲ τῷ ὁμοιογενεῖ τε καὶ ἑτερογενεῖ καὶ ἀριθμῷ ὡς εἴρηται. καὶ ἡ δὴ τὸ μὲν ὑπερθετικόν, καὶ χωρὶς γενικῆς. τὸ δὲ συγκριτικόν, οὔ. ἔτι τε τὰ διαφορικὰ εἰς γενικήν. οἷον, τὸ ἕτερον. καὶ διάφορον. καὶ ἄλλο. καὶ τῶν πρός τι τὰ καθ' ὑπεροχὴν καὶ ὑποταγήν. καὶ τὰ στερητικά. πένης. ὀρφανός. ἐνδεής. καὶ τὰ πληρωματικά. πλούσιος. εὔπορος. πλήρης. καὶ τὰ ὡς κτητικὰ θεωρούμενα ὅλως. τὰ δὲ ἐξ ἴσου τῶν πρός τι εἰς δοτικήν. φίλος. γείτων. ἴσος, ὅμοιος. εἰς αἰτιατικὴν δὲ καὶ ἀπαρέμφατον, τά τε κυρίως ἐπίθετα καὶ τὰ ἀναφορικά. οἷον, καλὸς τὸ εἶδος. καὶ καλὸς ἰδεῖν. καὶ οἷος εἰπεῖν καὶ ἀκοῦσαι. καὶ μονοθετοῦντες οὖν λέγομεν, ἢ παραθετικῶς, ἢ διαφορικῶς, ἢ καθ' ὑπεροχὴν καὶ ὑποταγὴν καὶ ἰσότητα τῶν πρός τι, ἢ συνεκδοχικῶς. σύνταξις μὲν τοίνυν τῶν ὀνομάτων τοιαύτη πρὸς ἄλληλα.

περὶ πτώσεως. πτῶσις δὲ μεταβολὴ μὲν εἴη ἄν τις ὀνόματος ἢ ὀνομαστικοῦ τοῦ κατὰ τὸ τέλος. πέντε δὲ ἀριθμουμένων πτώσεων, ἡ πρώτη καὶ ὀρθὴ καταχρηστικώτερον λέγεται πτῶσις. ταυτὸ γάρ τοι ὀρθὸν εἶναι καὶ πεπτωκὸς ἅμα οὐχ οἷόν τε. ὀνομάζεται δὴ αὕτη καὶ εὐθεῖα καὶ ὀνομαστική. ἁρμόζει τε τῷ ὀρθῷ καὶ ἀποφαντικῷ λόγῳ. γενική. τῶν δὲ τεσσάρων πλαγίων, ἡ μὲν γενικὴ γενεαλογίαις καὶ κτηματολογίαις συντέτακται. παῖδα γὰρ σωκράτους εἶναι φαμέν. καὶ οἶκον ἀριστοτέλους. ὅθεν εἴ τις καὶ κτητικὴν ταύτην καλεῖ, οὐκ ἂν ἁμαρτάνοι. δοτική. ἡ δὲ δοτικὴ τὴν τοῦ διδόναι καὶ χαρίζεσθαι καὶ ἐπιστέλλειν καὶ καθόλου τὴν τοῦ περιποιεῖσθαι εἴληχε τάξιν. γλαῦκος διομήδει ὅπλα ἐδεδώκει χρυσᾶ. φέρεκλος ἀλεξάνδρῳ ἐναυπήγει. αἰτιατική. ἡ δ' αἰτιατική, αἰτιολογοῦσι μάλιστα ἥκει εἰς χρῆσιν. οἷον, σωκράτης ἀξιοῖ ἐπαινεῖσθαι δι' ἀρετήν. κλητική. ἡ δὲ κλητική, ἐπὶ τὸ καλεῖν τινα καὶ ἐ-

VNIVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

πιστρέφειν, ἀμεταβάτως τοῖς δευτέροις τῶν ῥημάτων προσώποις συντασσομένη. δεῦρ' ἄγ' ἰὼν πολύαιν' Ὀδυσσεῦ μέγα κῦδος Ἀχαιῶν. ἀνθυπαλλαγή. ἀναμερισθέντων δὴ τῶν ὀνομάτων εἰς πέντε πτώσεις, τὰς ἀνθυπαλλαγὰς τῶν πτώσεων, ἢ παραδεχόμεθα ὡς σχήματα ἅττα διαλέκτου τινὸς συνηθέστερον τὸ τοιοῦτο ἐνδειξαμένης, ἢ ἀπαραδέκτους ποιούμεθα ὡς ἀκαταλλήλους. ἀττικὸν μὲν γὰρ τὸ τὴν εὐθεῖαν λαμβάνειν ἀντὶ κλητικῆς. μακεδονικὸν δὲ ἢ θεσσαλικὸν τὸ ἀνάπαλιν. αὐτὰρ ὃ αὖτε θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι, πολλῆσι νήσοισι καὶ Ἄργεϊ παντὶ ἀνάσσειν. ἔνθα γε μὴν ἡ κλητικὴ καὶ εὐθεῖα συνεμπίπτει οὐδετέραν εἰς ἔλεγχον τοῦ σχήματος ἔσται λαμβάνειν. ὡς εἴρηται.

## περὶ ῥήματος.

Τὸ δὲ ῥῆμα, ἔστι μὲν λόγου μέρος προσώπων τε διακριτικὸν καὶ χρόνων διαφόρων προσημαντικὸν κατὰ διαφόρους μετασχηματισμούς. τί δέ ἐστιν ὁ χρόνος, πλέον ἂν εἴη ἢ κατὰ γραμματικὴν θεωρῆσαί τε καὶ ὁρίσασθαι. λαβεῖν οὖν καὶ τὸν χρόνον ὡς καὶ ἄλλα πολλὰ συγκεχυμένως χρῆναι φαμέν, ἀλλὰ μὴ περιεργάζεσθαι τὸν τῆς κινήσεως ἀριθμὸν κατὰ τὸ πρότερόν τε καὶ ὕστερον. πλέον γάρ τοι οὐδὲν εἰς τὸ παρὸν ἡ τοῦ διωρισμένου γνῶσις συμβαλεῖται. διῃρημένου δ' ἄρα τοῦ χρόνου εἰς ἕξ, ὁ μὲν ἐνεστώς, τὸ ἐνιστάμενον σημαίνει καὶ ἀτελές. ὁ δὲ παρατατικός, τὸ παρατεταμένον καὶ ἀτελὲς τοῦ παρῳχημένου. ὁ δὲ μέλλων, τὸ μήπω γεγονός. ὁ δὲ ἀόριστος, τὸ παρεληλυθὸς μὲν καὶ τέλειον, οὐχ ὡρισμένον δὲ τὰ περὶ τὴν ἐνέργειαν ἢ τὸ πάθος. ὁ δὲ παρακείμενος, τὸ παρεληλυθὸς ἄρτι καὶ ἐντελὲς τοῦ ἐνεστῶτος. ὁ δ' ὑπερσυντέλικος, τὸ παρεληλυθὸς ἄρτι καὶ ἐντελὲς τοῦ παρακειμένου.

## Διαίρεσις ῥήματος.

Διῃρήσθω δὲ τὸ ῥῆμα καὶ ἐπὶ πλέον ὡδί. τὸ μὲν γάρ τοι προσωπικόν. οἷον, λέγω. τὸ δὲ ἀπρόσωπον. οἷον, χρή. προσωπικοῦ δ' αὖ τὸ μέν, ἐνεργητικόν. τὸ δέ, παθητικόν. τὸ δέ, οὐδέτερον. οἷον, ζῶ. καὶ τὸ μέν, μέσον. οἷον, βιάζομαι. τὸ δέ, αὐτοενεργητικόν. μάχομαι. τὸ δέ, αὐτοπαθητικόν. πάσχω. καλείσθω δὲ καὶ ἕτερόν τι ὁλοενεργητικόν, ἐν τοῖς οὐδετέροις. οἷον, τὸ ἀναβαίνω. καὶ τρίτον αὐτοουδέτερον. οἷον, τὸ πλουτῶ. ὥσπερ ἂν πάλιν καὶ ὁλοπαθὲς ἕτερόν τι τῷ αὐτοενεργητικῷ ἀντιδιαιρούμενον κατὰ γένος τὸ ἐπίμεσον ἢ ἐπίκοινον. καλῶ γὰρ ἐπίμεσον καὶ ἐπίκοινον, τὸ παθητικὴν μὲν ἀεὶ ἔχον φωνήν, σημασίαν δέ, τῇ μὲν ἐνεργητικήν. οἷον, μάχομαι. τῇ δὲ παθητικήν. οἷον, γίγνομαι.

ἔτι τε τῶν οὐδετέρων, τὸ μέν, ὑπαρκτικόν. τὸ δέ, ὄν. καὶ τὸ μέν, τέλειον. τὸ δέ, ἀτελές. ἔστι δὲ καὶ τοῦ ἀπροσώπου τὸ μέν, ὡς ἐνεργητικόν. οἷον, προσήκει. τὸ δέ, ὡς παθητικόν. οἷον, λέγεται.

συμπάντων δὲ τῶν ῥημάτων τὰ μέν, κατ' εἰσπομπὴν θεωρείσθω ἔξωθέν τι λαμβάνοντα. τὰ δέ, κατὰ ἐκπομπὴν οἴκοθεν προσλαμβάνοντά τι. τὰ δέ, κατὰ περιποίησίν τε καὶ ὑπουργίαν. καὶ τὰ μέν, ἀμεταβάτως. τὰ δέ, μεταβατικῶς. καὶ τὰ μέν, τελείως. τὰ δέ, ἀτελῶς.

σύνταξις δὲ τῶν ἐνεργητικῶν. ὥστε τὴν ἐνέργειαν ἐπί τι διαβιβάζεσθαι ὑποκείμενον. οἷον, τέμνω τὸν λίθον. καὶ ἰατρεύω τὸν νοσοῦντα. οἷς δὴ καὶ

VNIVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

τὸ παθητικὸν ἐκ προϋφισταμένης διαθέσεως ἐνεργητικῆς ἐπιφέρεται. ἰατρεύεται ὁ νοσῶν. τέμνεται ὁ λίθος. οὐδετέρων. οὐκ ἔτι δὲ καὶ τὰ οὐδέτερα ὁμοίως τοῖς ἐνεργητικοῖς. τοῦ γὰρ ὑπάρχω, καὶ ζῶ, καὶ φρονῶ, καὶ πλουτῶ, καὶ ὑγιαίνω, καὶ τῶν τοιούτων, ἡ παθητικὴ διάθεσις κεχωρισμένη ἐστίν. ἐπεὶ οὐ διὰ τῆς ὁριστικῆς τούτων ἐγκλίσεως ἐνεργοῦντα ἄττα καὶ πρὸς διατιθέντα παρίσταται. ὥστ᾽ εἴ τις τὰ τοιαῦτα κλίνει εἰς παθητικὰς προφοράς, μελέτημα φωνῆς οὐ φυσικήν τινα καὶ συστατικὴν κλίσιν ποιεῖται. οἷον, εἰ καὶ ἀρσενικὸν τοῦ γαλουχήσασα καὶ ἐκτρώσασα λέγοι, ἢ ἑτέρου του τῶν κατὰ φωνὴν μὲν συμπιπτόντων, ἐν παραδοχῇ δὲ λόγου μὴ δυναμένων. τὰ μὲν οὖν οὐδέτερα αὐτοῦ μόνου ἐμφαίνει ὁρισμὸν τοῦ συνεῖναι τὸ σημαινόμενον. οἷον, τὸ ζῆν. ἢ φρονεῖν, ἢ γηρᾶν. καὶ τὴν εἰς μαι κατάληξιν οὐ προσίεται τὸ παράπαν. μέσων καὶ αὐτοενεργητικῶν. ἀνάπαλιν δὲ τὰ μέσα καὶ αὐτοενεργητικά. τούτοις γὰρ ἀπαράδεκτον τὸ λῆγον εἰς ω. βοιάζομαι. μάχομαι. δῆλον οὖν ὅτι παντὸς παθητικοῦ εἰς μαι λήγοντος, ἐνεργικὸν ἔστι παραδέξασθαι, ἐὰν μετὰ τῆς λέξεως καὶ τὰ τῆς συντάξεώς τε καὶ διανοίας σώζηται. οἷον, φιλῶ σε, ὅτι φιλοῦμαι. ἔχει δ᾽ ἄρα ἅπαντα πτῶσιν προϋφισταμένην ἐκ πρώτου ὀρθήν. ἣ καὶ συμφέρεται ἤτοι λεγομένη ἢ νοουμένη ἐπὶ πάσης κλίσεως καὶ ἀριθμοῦ καὶ προσώπου καὶ χρόνου. πλὴν τῶν ἀπαρεμφάτων. ταῦτα γὰρ αἰτιατικὴν περιέχει. συμπλοκὴ λόγου. ἢ γοῦν ἐν συνάπτεται ἑνί. οἷον, σωκράτης φιλοσοφεῖ. ἢ ἐν δυοῖν. σωκράτης καὶ πλάτων φιλοσοφεῖ. τοῦτο δὲ ἤτοι φύσει ἢ σχήματι. φύσει μὲν ἐὰν τὸ ῥῆμα προτάττηται ἢ μεσοσυλλαβῇ ἑνικῶς. οἷον, φιλοσοφεῖ σωκράτης καὶ πλάτων. σωκράτης φιλοσοφεῖ καὶ πλάτων. σχήματι δὲ προεπιζευκτικῷ, ἐὰν πληθυντικῶς. φιλοσοφοῦσι σωκράτης καὶ πλάτων. σωκράτης φιλοσοφοῦσι καὶ πλάτων. ἔτι φύσει ἐὰν ἐπιτάττηται πληθυντικῶς. σωκράτης καὶ πλάτων φιλοσοφοῦσι. σχήματι δὲ ἐπιζευκτικῷ, ἐὰν ἑνικῶς. σωκράτης καὶ πλάτων φιλοσοφεῖ. ᾧ ἀντίκειταί πως τὸ περιληπτικόν. ὡς φασαν ἡ πληθύς. καὶ ἐσκίδναντο ἕκαστος. ἐκδέχονται μὲν οὖν αἱ πλάγιαι τὰ ῥήματα μεταβατικῶς. οἷς ἀμεταβάτως ἡ εὐθεῖα συντάσσεται. εἴδη τῶν μεταβατικῶν προσωπικῶν. εἴδη δὲ τῆς καθ᾽ ἕκαστα μεταβάσεως τῶν προσωπικῶν ὑποκείσθωσαν καθόλου τε καὶ ἁπλᾶ τρία. πρῶτον μὲν εἰς αἰτιατικὴν τῶν κατ᾽ ἐκπομπὴν θεωρουμένων. οἷον, διδάσκω σε, καὶ διδάσκω γράμματα. δεύτερον δὲ εἰς γενικὴν τῶν κατ᾽ εἰσπομπήν. οἷον, δέομαί σου. τρίτον δὲ εἰς δοτικὴν τῶν κατὰ περιποίησιν. οἷον, δίδωμί σοι. τέτταρα δὲ συγκείμενα ἄττα καὶ τῶν εἰρημένων κοινά. τὸ μέν, εἰς αἰτιατικήν. οἷον, διδάσκω σε τὰ γραμματικά. δέομαί σου τὰ δίκαια. δίδωμί σοι χρυσίον. καλείσθω δὲ διαβατικόν. τὸ δέ, εἰς γενικήν. οἷον διδάσκω σε τοῦ καλοῦ. δέομαί σου τῆς χρείας. μεταδίδωμί σοι τῆς ἐνδείας. καλείσθω δὲ αἰτιολογικὸν ἢ ἐλλειπτικόν. τὸ δὲ εἰς δοτικήν. οἷον, διδάσκω σε τύχῃ ἀγαθῇ. δέομαί σου ὅλῃ ψυχῇ. δίδωμί σοι χειρί. καλείσθω δὲ ὀργανικόν. τὸ δὲ εἰς ἀπαρέμφατον, διχῶς δέ, ἢ γάρτοι ὡς εἰς τέλος, ἢ ὡς εἰς



VNiVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

εἶδος. ὅθεν δὴ καὶ τῆ μὲν τελικόν, τῆ δὲ εἰδικὸν κα-
λείσθω. διδάσκω σε διαλέγεσθαι. δέομαί σου βοη
θῆσαι. δίδωμί σοι πρίασθαι. λέγω σωκράτην γε
γονέναι σοφόν. οἶμαι πάντας ὁμολογήσειν.
προσκείσθω δὲ καὶ ἕτερόν τι εἰς αἰτιατικὴν κοινό-
τερον. διδάσκω σε χρόνον συχνὸν τὰ γραμματι-
κά. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. καλείσθω δὲ ἐλ
λειπτικὸν δεύτερον. καὶ ἔτι ἕτερόν τι ὁμοίως
εἰς ὁτιοῦν τῶν προσηκόντων ἐπιῤῥημάτων ἢ δι-
ήστινοσοῦν τῶν προθέσεων. διδάσκω σε νῦν, ἢ ἡ-
δέως, ἢ ὡς ἂν ἄλλως κατηγορεῖν πρὸς τὴν χρεί-
αν δοκέη. καὶ ἀσθενὴς ἦν διὰ χρηματίαν. καὶ ὅπως
ἄλλως χρῆσθαι προθέσει κατὰ λόγον ἂν ᾖ. καλεί
σθω δὲ τῆ μὲν προσρηματικόν. τῆ δὲ ἑτεροτελές.
τὸ σύνολον δὲ συγκατηγορηματικόν. τὸ δὲ
ἐλλειπὲς ἢ πληρέστερον τῆς συντάξεως πρὸς τὸ
δοκοῦν ἱκανῶς ἂν ἔχειν, ἔσται ἐκ τῶν εἰρημένων. οἷ
ον διδάσκω σε διαλένεσθαι. διδάσκω σε τὰ γραμ
ματικὰ διαλέγεσθαι εὖ. ἐπεὶ κἂν εἰς ἓν συλλαμβά
νοντι τὰ συγκείμενα προστιθέναι ἑκάστω, τῶν ἁ-
πλῶν ἂν εἴη. οἷον δίδωμί σοι χρυσίον τῆς χρείας
χειρὶ τῆ ἐμαυτοῦ πρίασθαι ὧν ἂν δέη. φράζειν μέν
τοι ἐπὶ τὸ σαφέστερον δεῖ ἐπιτιθέντας ἢ σύνδεσ-
μον ἢ πρόθεσιν ἢ ἐπίρρημα, ἢ ὡς ἂν ἄλλως εὖ ἔχη
ἑλληνισμοῦ. οἷον, δίδωμί σοι χρυσίον τῆς παρού
σης ἕνεκα χρείας, ὅπως πριάμενος ὧν ἂν δέη ἔχης.
ἢ ὥστε πρίασθαι ὧν ἂν δέη. ἐπιβατικά. εἰ
λήφθω δὲ καὶ τὸ μάχομαι μάχην. καὶ ζῶ ζωήν. καὶ
δουλεύω δουλείαν. καὶ πάντα τὰ τοιαῦτα ὡς ἐπι
βατικά. καλῶ γὰρ ἐπιβατικόν, τὸ τοῦ διαβατικοῦ

ἐλλειπτικόν. οἷον, διδάσκω γραμματικά.

## Τόποι τοῦ πρώτου.

Τόποι δὲ τοῦ μὲν πρώτου τὰ ὁποσοῦν ἐνεργητικά·
εἴτε κατὰ μείζω ἐνέργειαν. οἷον, τιμῶ σωκράτην· εἴτε
καὶ ἐλάσσω. οἷον, τὸ λέγω τὰ δέοντα, καὶ φρονῶ
τὰ εἰκότα. σκοπεῖν οὖν εἰ ἐπὶ σωματικὴν διά
θεσιν ἀναφέρεται, οἷον, γυμνάζω. κινῶ. ῥίπτω.
πλήττω. φθείρω. λύω. δεσμῶ. βρέχω. βιάζομαι.
τρίβω. κρατῶ. κείρω. θερίζω. καίω. ἔτι εἰ ἐπὶ ψυ
χήν τε καὶ ἦθος· φιλῶ. ἀγαπῶ. στέργω. δικαιῶ. ἀ-
δικῶ. βλάπτω. ὠφελῶ. ὑβρίζω. ἀνιῶ. λοιδορῶ.
ἔτι εἰ ἐπιδεικτικά· ἐπαινῶ. ἐγκωμιάζω. ὑμνῶ. ᾄδω.
εὐλέγω. ἔτι εἰ σεπτικά. τιμῶ. σέβω. πρεσβεύω.
προσκυνῶ. κολακεύω. αἰδοῦμαι. ἔτι εἰ ὑπομονητι
κά, καὶ δοξαστικά, ἢ γνωστικά. νοῶ. κρίνω. οἶδα. οἴ
ομαι. ὑφορῶμαι. ἔτι εἰ προαιρετικά· βούλομαι.
προαιροῦμαι. ἐθέλω. ἔτι εἰ ζητικά. ἐξετάζω. ἀνακρί
νω. ἐρωτῶ. ἐρευνῶ. εὑρίσκω. ἔτι εἰ ἐπικρατητικά. ἔ-
χω. φυλάσσω. ἀναγκάζω. εἴργω, ἐλαύνω. νικῶ.
ἔτι εἰ προτρεπτικά. παρακαλῶ. ἐρεθίζω· προτρέπω· πα
ρορμῶ. παροξύνω. ἔτι εἰ κλητικά. φωνῶ. ὀνομά
ζω. καλῶ. ἔτι εἰ ἐπιστημονικά. οἰκοδομῶ. σκυτοτο
μῶ. ἰατρεύω. ἔτι εἰ διακρουστικά. πλανῶ. ἐξαπα
τῶ. φενακίζω. κλέπτω. παραλογίζομαι. ἔτι εἰ
διδασκαλικά, ἢ διαθετικά. παιδεύω. σωφρονίζω.
πείθω. διδάσκω. ψύχω. θερμαίνω. διατίθημι.
ἔτι εἰ οἰκτικά. ὀδύρομαι. κλαίω. θρηνῶ. οἰκτίζω.
ἐλεῶ. ἔτι εἰ ἱκετευτικά. ἀντιβολῶ. ἱκετεύω.
ἐκλιπαρῶ. λιτανεύω. ἐρωτῶ. ἐν ἴσω τῶ παρα-
καλῶ. γουνοῦμαι. ἔτι εἰ συμβολαίων ση-
μαντικά· πωλῶ. ἀγοράζω. συμβάλλω. ἔτι εἰ



VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

φυσικά. οἷον, γεννῶ. καὶ φύω. καὶ αὔξω. αἰτιατικῇ γὰρ τὰ τοιαῦτα.

### Τόποι τοῦ δευτέρου.

Τοῦ δὲ δευτέρου τὰ κατ᾽ αἴσθησιν ἀναληπτικά. οἷον, αἰσθάνομαι. ἀκούω. ἅπτομαι. γεύομαι. ὀσφραίνομαι. ἐρῶ. ἐπιθυμῶ. τὸ δὲ ἐρῶ αἰτιατικῇ. διὰ τὸ ἐνεργεστάτην εἶναι τὴν ὄψιν καὶ ἐπὶ πλέον διήκειν. καὶ τὰ τούτοις συνωνυμοῦντα. ὁρῶμαι. θεῶμαι. καὶ τὰ φροντιστικά. καὶ κτητικά. φροντίζω. ἐπιμέλομαι. φείδομαι. ἀπολαύω. κοινωνῶ. μετέχω. μέμνημαι. καὶ τὰ ἀρχικά. βασιλεύω. δεσπόζω. κυριεύω. τυραννῶ. ἄρχω. κρατῶ. εἴη δ᾽ ἂν καὶ ὡς κτητικὰ τὰ τοιαῦτα. καὶ τὰ διαφορικά. καὶ τὰ ἀποστηματικά. καὶ ἐκστατικά. διαφέρω. χωρίζομαι. ἀπέχω. στέρομαι. ἁμαρτάνω.

### Τόποι τοῦ τρίτου.

Τοῦ δὲ τρίτου τὰ περιποιητικά. καὶ ἀντιπεριποιητικά. οἷον, δίδωμι. πέμπω. λέγω. χαρίζομαι. ἀντιλέγω. παλαίω. ἐναντιοῦμαι. ἀμφισβητῶ. μάχομαι. καθόλου δὲ πᾶν ῥῆμα ὅπως ἂν ἔχῃ, καὶ ὡς περιποιητικὸν ἔστι λαμβάνειν ταυτό. ὠφελῶ γάρ τοι ἀνθρώπους. ἀλλὰ καὶ ὠφελῶ ἀνθρώπους τῇ πόλει. διδάσκω τὸν νέον. καὶ διδάσκω σοι τὸν νέον. ὥσπερ ἄρα καὶ πᾶν εἴη ἂν ἐνεργείας ἐλάσσονος ἐνεργητικόν. ὠνάμην ὁπόσα ἔδει τἀνδρός. ἐχρησάμην πάμπολλα τῷ ἀνδρί. ὠφέλησα προθύμως τὰ δυνατά. εἰλήφθω δὲ καὶ ὡς περιποιητικὸν καὶ τὸ δουλεύω. πιστεύω. καὶ ὑπηρετῶ. καὶ ἀκολουθῶ. καὶ εἴκω. καὶ τὰ ὅμοια. δῆλον δ᾽ ἐκ τούτων καὶ ὅπως τοῖς συγκειμένοις χρησώμεθα. ἐκ γὰρ τῶν εἰρημένων ἁπλῶς συνθέντες ὡς ἂν τὰ παρὰ τῆς χρείας καὶ διανοίας ἀπαιτῇ, φθεγξόμεθα. ἤτοι διαβατικῶς εἰ δεῖ τοῦ κατ᾽ ἐνέργειαν πράγματος. οἷον, ὠφελῶ ἀνθρώπους τὰ δυνατά. παρέχομαι χρήματα ἀνδρὶ πένητι. ἢ αἰτιολογικῶς, καὶ ἐλλειπτικῶς. εἰ δεῖ τῆς αἰτίας ἐξ ἧς ἡ ἐνέργεια. οἷον, ἐπαινῶ σωκράτην τῆς ἀρετῆς. ὠνοῦμαι πυροὺς στατήρων τριῶν. μεταδίδωμί σοι τοῦ περιόντος. ἢ ὀργανικῶς. εἰ ὅθεν ἡ κατ᾽ ἐνέργειαν κίνησις φάναι δέοι. οἷον, φθόνῳ οὐκ ἐπαινεῖ κλέων τὰ καλά. ἢ τελικῶς. εἰ τὸ οὗ ἕνεκα δέοι προσθῆναι. οἷον τάττω σε προηγεῖσθαι τῶν ἄλλων. ἢ εἰδικῶς. εἰ τὸ καθ᾽ ὃ σημαίνει δοκεῖ. οἷον, φησὶ τοὺς περὶ τὸν βασιλέα ἐληλυθέναι. ἢ ἐλλειπτικῶς τῆς κατα. δῆλον δ᾽ ἐκ τῆς τῶν τόπων ἐκθέσεως. Τόποι δὲ τοῦ μὲν τελικοῦ, ἔνθα τὸ ἵνα ἁρμόττει. οἷον, τάττω σε ἵνα προηγῇ τῶν ἄλλων. Τοῦ δὲ εἰδικοῦ, ἔνθα τὸ ὅτι. φασὶν ὅτι ἐληλύθασιν οἱ περὶ τὸν βασιλέα. Τοῦ δὲ ἐλλειπτικοῦ δευτέρου, ἔνθα χρόνον δηλῶσαι δέοι ποσόν. οἷον, ἔζησεν ἔτη πολλά. ἢ τὸ ἀπ᾽ αὐτοῦ τοῦ ἐνεργοῦντος προσώπου καὶ πάσχοντος. οἷον, φθείρεις τὰ κοινὰ τὸ σὸν μέρος. ἢ τὸ κατά τι. οἷον, ἐν τίκτουσι τὰ πολλὰ αἱ γυναῖκες, καὶ σοφὸς τὰ μηχανικά. ἢ τὸ αἴτιον οὗ πάνυ τοι τῷ ὀργανικῷ ἀνομοίως. οἷον, πάντα δὲ ταῦτα γέγραφε τὸν εἰρημένον τρόπον ὡς ἂν εἰς βιβλίον κατάθοιτο.

### Τόποι τοῦ αἰτιολογικοῦ καὶ ἐλλειπτικοῦ.

Ὑποκείσθωσαν δὲ καὶ τοῦ αἰτιολογικοῦ καὶ ἐλλειπτικοῦ τόποι τοιοίδε. σκοπεῖν εἰ ἀνταλλαγματικῶς, καὶ ἀποτιμητικῶς. ὠνοῦμαι. πωλῶ. ἀλλάττω. ἀποτιμῶ. Ἔτι εἰ πληρωτικῶς. γεμίζω. πληρῶ. κενῶ. Ἔτι εἰ διαιρετικῶς τε, καὶ ἀφοριστικῶς, καὶ ἐκστατικῶς, καὶ ἐφεκτικῶς. γυμνῶ. ἀπαλλάττω.



VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

ἀφίστημι. ἀπολύω. κολύω. ἀναστέλλω. συγχωρῶ. ὑπείκω. κουφίζω. ἀμβλύνω. καθαίρω. περιαιρῶ. ψεύδω. ἔτι εἰ ἐπιδεικτικῶς, καὶ εἰς ἀρετὴν ἀποδεκτικῶς. ἐπαινῶ. θαυμάζω. εὐδαιμονίζω. ζηλῶ. ἀποδέχομαι. ἔτι εἰ μετουσιαστικῶς τε καὶ μεταδοτικῶς. κοινωνῶ. μετέχω. μεταδίδωμι. ἀξιῶ. ἔτι εἰ φιλικῶς. ἢ οἰκτικῶς. φιλῶ. ἀγαπῶ. ἐλεῶ. οἰκτείρω, καθόλου δὲ τὸ περὶ τὴν αἰτίαν ἐλλεῖπον. μέμφομαί σοι ἀχαριστίας. αἰτιῶμαί σε διαβολῆς. καὶ κατηγορῶ σου κλοπῆς.

ἔτι εἰ ἀποφάσει χρόνου παρήκοντος ἐντελοῦς δέοι ποσὸν χρονικὸν προσορίσασθαι. οὐκ ἦλθον. οὐκ εἶδον. οὐκ εἶπον χρόνου πολλοῦ. ἔτι εἰ τὸ ἐγγὺς τοῦ γενέσθαι καὶ παρὰ μικρὸν συμβεβηκέναι τι δηλῶσαι δέοι. μικροῦ παρῆλθον. μικροῦ διέφυγον. ἔτι εἰ ἀπὸ μέρους. οἷον, κρεμῶ σε τοῦ ποδός. πίνω τοῦ ὕδατος. δρέπομαι τῶν ἀνθέων. ἔτι εἰ καιροῦ ὡρισμένου χρεία. οἷον, ἡμέρας τε καὶ νυκτὸς ἐργάζεται. ἑσπέρας ἧκεν. χειμῶνος καὶ ἔαρος αἱ κοιλίαι θερμαί εἰσι. φανερὸν οὖν καὶ ὡς τὸ αὐτὸ ῥῆμα λαμβανόμενον διαφόρως, διοίσει τε ἑαυτοῦ τῷ εἶναι, καὶ διαφόρως προσαγορευθήσεται καὶ συντάξεται. οἷον, τὸ λύω σωματικὸν μὲν, ἢ δεῖ σωματικῆς ἐνεργείας τῷ λύοντι. διαιρετικὸν, ἢ τὸ λυόμενον γίνεται ἔξω δεσμοῦ. παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἄλλων θεωρητέον. καὶ πρὸς τὸ ἐπινοούμενον ἀεὶ συντακτέον.

παθητικόν.

Τὸ δὲ παθητικὸν δῆλον ὅτι ὁσαχῶς καὶ τὸ ἐνεργητικὸν συντετάξεται. κοινὸν μὲν τὴν ἐκ πρώτου ὀνομαστικὴν ἔχον. ἴδιον δὲ τὴν ἐκ τρίτου γενικὴν ὁμοῦ τῇ ὑπὸ ἢ τῇ πρὸς ἢ τοῖς ἴσοις, ὡς εἴρηται, ἀντεστραμμένως τοῖς ἄκροις. σωκράτης φιλεῖ φαῖδρον. φαῖδρος φιλεῖται ὑπὸ σωκράτους. καὶ διδάσκεται πρὸς αὐτοῦ. κοινὸν οὖν καὶ τὸ ἐκ τετάρτου καὶ ὁμοιόπτωτον, πλὴν ἐπὶ τῶν κλητικῶν. ταύτῃ γὰρ πρὸς εὐθεῖαν. καλοῦμαι σωκράτης. λέγομεν οὖν βυβλίον πωλεῖται ὑπὸ κορίσκου στατήρων πολλῶν. χρυσίον δίδοται πρὸς τοῦ πλουτοῦντος τῷ πένητι. ἴδιον δὲ μάλιστα τοῦ παθητικοῦ τὸ συνεκδοχικὸν τῆς συντάξεως. οἷον, πλήττομαι τὸν πόδα, ἀλγῶ τὴν κεφαλήν.

οὐδέτερον ὑπαρκτικῶς.

Τῶν δὲ οὐδετέρων τὸ μὲν ὑπαρκτικὸν ὀνομαστικῇ ἐκ τρίτου συντάσσεται. σωκράτης ἐστὶν ἢ τυγχάνει λευκός. τό γε μὴν τυγχάνει βέλτιον, εἰς εὐθεῖαν μετοχικὴν ἐκ τρίτου. σωκράτης τυγχάνει ὢν ἀγαθός. ἣν δὲ ἡ μετοχὴ μὴ ὑπαρκτικοῦ ᾖ, οὐδενὸς δεῖ ἐκ τετάρτου. ἐντελῶς γὰρ φαμὲν, σωκράτης τυγχάνει περιπατῶν, ἢ διαλεγόμενος. τἄλλα δὲ κοινὰ πρὸς τὸ ἐνεργητικόν. τῶν τε οὖν κατεῖς πομπήν τε καὶ κτῆσιν, ἡ ἐκ τρίτου γενική. χρήζω. διέχω. πληθύω. δέω. ἀπορῶ. εὐπορῶ. ἀμοιρῶ. ἀπολαύω. τρυφῶ. ὄζω. βρίθω δέ, καὶ εὐσθενῶ, ὀργανικῶς δοτικῇ. καὶ ὅλως τῶν ἀπολελυμένων εἰ δοκεῖ προστιθέναι. οἷον, ἀγρυπνῶ. καὶ γρηγορῶ. καὶ ζῶ. καὶ πλουτῶ. ἀρετῇ, ἢ διἀρετήν. ἢ ὅπως ἂν ἄλλως ἐγχωρῇ φράζειν τὸ αἴτιον. τῶν δὲ περιποιητικῶν, ἡ δοτική. συμβαίνω. ὑπάρχω. ὑποχωρῶ. εἴκω. ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν συντακτέον κατὰ τὰ κοινῇ εἰρημένα.

VNIVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

### αὐτοπαθητικόν.

Τὸ δὲ αὐτοπαθητικὸν οὐ δέτερον μέντοι καὶ αὐ-
τό, ὡς μὴ μετασχηματιζόμενον τῇ μὲν εἰς παθητι
κὴν σημασίαν. αὐτοπαθητικὸν δὲ κληθὲν ἅμα μέ-
ρος εἴληπται, ἢ πάθος ἀφ᾽ ἑαυτοῦ τυγχάνει δη-
λοῦν, καὶ ἀντιδιαιρούμενον τῷ ὁλοενεργητικῷ
καὶ τῷ αὐτοουδετέρῳ. οἷα, τὰ πάσχω. φθίνω. ἔῤ-
ῥω. ἀλγῶ. φρίττω. πυρέττω. ἐρυθριῶ. νοσῶ. ἀπο
θνήσκω. καὶ τὰ ὅμοια, σύνταξις δὲ τοῦ τοιού
του ἡ αὐτὴ τοῖς παθητικοῖς, ὡς εἰκός. πάσχει ὑπὸ
τοῦ ποιοῦντος. φθίνει ὑπὸ τοῦ φθείροντος. τὸ δ᾽ ἕκ
του, καὶ καθ᾽ ὅ, καὶ δι᾽ ὅ, καὶ ὅλως τὸ αἰτιολογικόν,
κοινόν. καὶ ἔτι τὸ ἐπιβατικόν, καὶ συνεκδοχικὸν τῆς
συντάξεως. πάσχω ταῦτα. καὶ νοσῶ νόσον. καὶ ἀλ
γῶ τὴν κεφαλήν.

### ὁλοενεργητικόν.

Τὸ δὲ ὁλοενεργητικὸν τὴν πρὸς αἰτιατικὴν βούλε
ται σύνταξιν. οἷον, φεύγω σε. καὶ λανθάνω. καὶ κρύ
πτω. καὶ παραλλάττω. καὶ παρελαύνω. καὶ θέλω.
καὶ ἀναβαίνω.

### αὐτοουδέτερον.

Τοῦ δὲ αὐτοουδετέρου ἡ αὐτὴ σύνταξις τοῖς ἀπο
λελυμένοις ἐστίν. ἀπολελυμένον γάρ τοι καὶ τὸ
τοιοῦτο. οἷον, ζῶ. πλουτῶ. ὑγιαίνω. δῆλον οὖν
ὅτι πρὸς τὰς διαφόρους τῶν αὐτῶν δυνάμεις καὶ
χρήσεις τὴν σύνταξιν ποιητέον, κατὰ τὰ ὑποτεθέν
τα. ἀναβαίνω τὸ ὄρος. τρέχω ἐπὶ τὴν ἀγοράν. ἀλ
λὰ καὶ τρέχω τὸ στάδιον. τὸ μὲν ἀτελῶς. τὸ δὲ ὁ
λοενεργητικῶς.

### μέσον,

Τῶν δὲ μέσων εἴτ᾽ οὖν κοινῶν, ἡ αὐτὴ σύνταξις καὶ
αὐτῶν τοῖς ἐνεργητικοῖς καὶ παθητικοῖς. ἀμφοτέ
ραις γὰρ ἐφαρμόζει ταῖς διαθέσεσι. θύομαι οὖν τῷ

θεῷ. καὶ θύομαι ὑφ᾽ ἑτέρου τῷ θεῷ. βιάζομαι τὸν ἐ-
χθρόν. καὶ βιάζομαι ὑπὸ τοῦ ἐχθροῦ. καὶ ὅλως κα
τὰ τὰ διωρισμένα εἴδη σχηματιστέον καὶ συντα-
κτέον. ἐπαινέσομαι ἀρετὴν τὰ εἰκότα. καὶ ἐπαινέσο
μαι ὑπὸ τοῦ φίλου.

### ἐπίμεσον.

Καὶ τοῦ ἐπιμέσου δὲ τὸ μὲν αὐτοενεργητικόν, τὴν
αὐτὴν τῷ ἐνεργητικῷ σύνταξιν ἔχει, ὡς καὶ αὐτὸ
σημαντικὸν ἐνεργείας ὄν. τὸ δὲ ὁλοπαθητικόν, τὴν
αὐτὴν τῷ παθητικῷ. ἐνεργητικῆς γὰρ ἀμοιροῦν ἐν
χρήστου γε προφορᾶς, παθητικῶς σημαίνει τι πα
θητικόν. γίνομαι. οἴχομαι. κοιμῶμαι.

### τόποι ἐπιμέσου.

σκοπεῖν δὲ καὶ περὶ τοῦ ἐπιμέσου τοῦ δε, εἰ περι-
ποιητικόν. ἢ ἀντιστατικόν, καὶ ἐναντιωματικόν.
ταῦτα γὰρ δοτικῇ ὡς τὸ τρίτον. χρῶμαι. ἥδομαι.
ἰππάζομαι. μάχομαι. ἀγωνίζομαι. ἐναντιοῦμαι.
ὀργίζομαι. ἀνθίσταμαι. Ἔτι εἰ ἐπικρατείας ση-
μαντικόν. αἰτιατικῇ γὰρ ὡς τὸ πρῶτον. κέκτημαι.
ὠνοῦμαι. μιμοῦμαι. Ἔτι εἰ ἀτελές, ἀπαιτεῖ γὰρ
τὸ εἴς τι, ἢ ἔν τινι, ὡς ἐπὶ τῶν οὐδετέρων ἐλέχθη.
πορεύομαι ἀθήναζε. ᾠχόμην ὡς τὸν θεόν. κάθημαι
ἢ κεῖμαι ἐνταυθοῖ. ἔτι εἰ καθ᾽ αἴσθησιν ἀναληπτι
κόν, ἢ ἄλλως ἀντιληπτικόν, καθ᾽ ὑπεροχὴν ὀρεκτι
κόν. γενικῇ γὰρ ταῦτα, ὡς τὸ δεύτερον. ἅπτομαι.
ὀσφραίνομαι. γεύομαι. ὀρέγομαι. ἐφίεμαι. περιέ-
χομαι. ἀντιλαμβάνομαι. περιγίνομαι. κοινὸν δὲ ἡ
τοῦ αἰτίου χρῆσις ἁπανταχοῦ. δι᾽ ὅ. ἐφ᾽ ὅ. ἵνα. καὶ ὅ
πως ἂν ἄλλως φράζειν ἢ πρὸς τὰ δόξαντα.

### ἀπρόσωπον.

Τῶν δ᾽ ἀπροσώπων ὀνομαζομένων διὰ τὸ μὴ πα

VNIVERSIDAD
DE SALAMANCA
GREDOS.USAL.ES

ῥιστάναι πρόσωπον. τὰ μὲν καθ' αὑτὰ κεῖται, ἥκιστα πρὸς ἕτερον συντάττεσθαι πεφυκότα. οἷον, τὰ παθητικά. λέγεται. θύεται. λείπεται. εἴρηται. εἰρήσθω. καὶ τὰ ὅμοια. πλὴν εἰ μὴ περιποιητικῶς. οἷον, ἤκουσταί μοι. καὶ ἔγνωσταί μοι. καὶ ὡς τὰ παθητικά. ἤκουσται ὑπ' ἐκείνων. τὰ δὲ πρὸς ἕτερον ἢ κτητικῶς, ἢ περιποιητικῶς, ἢ ἐπιβατικῶς. τὸ μὲν οὖν κτητικόν, εἰς γενικὴν καὶ ἅμα δοτικὴν περιποιητικῶς. μέτεστι τούτου ἐμοί. διαφέρει. ἢ μέλει. ἢ δεῖ. ἢ προσήκει τούτου ἐμοί. τὸ δὲ περιποιητικόν, εἰς ἀπαρέμφατον καὶ δοτικήν, ὡς εἰκός. ἔξεστι. συμβαίνει. προσήκει. πρέπει. δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ πέμψαι πρέσβεις. τὸ δ' ἐπιβατικόν, εἰς ἀπαρέμφατον μοναχῶς. δεῖ φάναι. χρὴ λαβεῖν. ἐνδέχεται εἶναι. φιλεῖ γενέσθαι. δεῖ εἰπεῖν. κοινὸν δὴ οὖν κἀνταῦθα τὸ ἀπαρέμφατον. ἀλλ' ἢ παρῳχημένου ἢ ἐνεστῶτος. μέλλοντος δὲ οὐδέποτε.

ἀνάλυσις ῥήματος.

Ἀνάλυσις δ' ἁπλῶς τῶν ῥημάτων εἴς τε τὸ σύστοιχον ὄνομα, ἢ τὴν μετοχήν, καὶ εἰς τὸ ὁμοειδὲς ὑπαρκτικόν. καὶ ἢ κατ' εὐθεῖαν, ἢ κατὰ γενικήν. λύκιοι συνεμάχουν τοῖς Τρωσί. σύμμαχοι τοῖς Τρωσὶν ἦσαν. τῶν συμμάχων ἦσαν. συμμαχοῦντες ἦσαν. τῶν συμμαχούντων ἦσαν. πληροῦμαι. πλήρης γίνομαι. τῶν πληρουμένων εἰμί. καὶ δὴ οὕτω ταῦτα.

ἔγκλισις.

Τῶν δὲ παρεπομένων τῷ ῥήματι ἐγκλίσεων, λόγος μέν, βούλημα εἴτ' οὖν πάθημα ψυχῆς διὰ φωνῆς σημαινόμενον.

ὁριστική.

καλεῖται δὲ ἡ ὁριστική, καὶ ἀποφαντική. ἰδίως μέντοι ὁριστική. ὅτι διὰ ταύτης ἀποφενόμενοι ὁριζόμεθα. ὅθεν δὴ καὶ οἱ καλούμενοι διαβεβαιωτικοὶ σύνδεσμοι καὶ προσέτι οἱ αἰτιολογικοὶ τείνουσιν ἐπὶ ταύτην. γέγραφα. λέγω ὅτι γέγραφα. καὶ ὅτι περιπατῶ κινοῦμαι. ἔχει δὲ τὰ ὁριστικὰ σφίσι τὴν κατάφασιν ἐγκειμένην. διὸ καὶ τὸ ἀποφατικὸν ἐπίῤῥημα κατάλληλον τοῖς τοιούτοις, ἵνα τὴν ἐνοῦσαν κατάφασιν ἀποστήσῃ. οὐ γράφω. οὐ μὴν δὲ καὶ τοῖς προστακτικοῖς ἢ εὐκτικαῖς ἢ ὑποτακτικοῖς. τὸ μέντοι ἀπαγορευτικὸν μὴ τοῖς τοιούτοις οἰκεῖον. καὶ οὖν λέγομεν. μὴ γίνωσκε. μὴ γνοίης. μὴ γνῷς. οὐ μὴν ἀλλ' οὐδὲ τοῖς ἀπαρεμφάτοις τὸ οὐ συντάσσεται. οὐθὲν γὰρ οὐδ' αὐτὰ καταφάσκει. ἀποβάλλουσά γε μὴν ἡ ὁριστικὴ τὴν ἐνοῦσαν κατάφασιν, οὐκέτι ἂν καλοῖτο ὁριστική. εἰς γὰρ ἐπερώτησιν μέτεισιν. ἆρα γράφεις.

προστακτική.

ἡ δὲ προστακτικὴ εὔδηλον ἂν ἔχοι τὴν σύνταξιν τῶν δευτέρων προσώπων, κἂν ὁμόφωνα ᾖ τοῖς ὁριστικοῖς. ἥ τε γὰρ σύνταξις κλητική, τό, τε συντασσόμενον πρόσρημα τὸ ἄγε ἀφίστησι τὴν ἀμφιλογίαν. τὰ δὲ πρωτοπροσωποῦντα οὐ προστακτικά, ἀλλ' αὐθυπότακτα οἱ πλεῖστοι καλοῦσιν. ἔοικε δὲ τὰ τῆς ἐγκλίσεως συγκεχύσθαι, καὶ δύο ἐγκλίσεις εἰς μίαν συνάπτειν. ὅτι γὰρ οὔτε προσκαλούμεθα ἑαυτούς, οὔτε μὴν προστάσσομεν ἑαυτοῖς, ὑποτιθέμεθα δέ, ὑποθετικὰ ἂν τὰ τοιαῦτα. συλληπτικὰ δή. ἵνα γὰρ ἐκκλίνη τὴν ἐν δευτέρῳ πρόσταξιν, σύλληψιν δέχεται εἰς τὸ πρῶτον ὑποθετικὸν ὄν. τὸ μὲν οὖν ἐλλεῖπον τῶν προστακτικῶν πρῶτον, καὶ τὰ ἐλλείποντα τῶν ὑποθετικῶν δεύτερα καὶ τρίτα. εἰς ἕνωσιν ἄγει τὰς δύο ἐγκλίσεις. ἵνα ἑκατέρα ἀναπληρῶται. τὸ δὲ τρίτον τῶν πραστακτικῶν πρόσταξιν ἀ

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

πόντος προσώπου δηλοῖ, δευτέρου ἐξ ἀνάγκης παραλαμβανομένου εἰς μετάδοσιν τῆς προστάξεως. ἀσύστατος γάρ τοι ἡ πρόσταξις ἄνευ δευτέρου.

**εὐκτική.**

ἡ δ' εὐκτικὴ ἀπὸ τῆς γινομένης εὐχῆς ὠνόμασται. καὶ ἐπιρρήματα ἔχει. εἴθε. αἴθε. ἃ τοῖς μὲν εὐκτικοῖς εἰς πλείονα ἐπίτασιν παρατίθεται. τοῖς δὲ ὁριστικοῖς δεόντως. εἴθε ἔγραψεν. ἵνα ἡ ὁριστικὴ εὐκτικὴν ἀναδέξηται σύνταξιν. διαφέρει δὲ τὸ περὶ τὰ ῥήματα εὐκτικὸν τοῦ περὶ τὰ ἐπιρρήματα. ἢ τὰ μὲν ῥήματα μετὰ τοῦ ἐνόντος πράγματος τὴν εὐκτικὴν σημαίνει διάθεσιν. τὸ γάρ τοι γράφοιμι, εὐχή ἐστι πράγματος τοῦ γράφειν. καὶ τὸ φιλολογοῖμι τοῦ φιλολογεῖν. τὸ δὲ εἴθε σχεδόν τι ὄνομά ἐστιν εὐχῆς. οὐ γὰρ συμπαρίσταται καὶ τὸ ἐφ' ᾧ τὰ τῆς εὐχῆς. ὥσπερ ἄρα καὶ τὸ εἷς διαφέρει τοῦ ἄνθρωπος. ἢ τὸ μὲν εἷς ὄνομά ἐστι μοναχῶς ἀριθμοῦ. τὸ δὲ ἄνθρωπος πρὸς τῷ τῆς κοινῆς οὐσίας σημαινομένῳ παρυφιστάμενον ἔχει τὸ εἷς. ὡσαύτως δὲ καὶ τὸ ἐγὼ πρὸς τὸ γράφω ἔχει. καὶ τὸ ἄλλοθεν πρὸς τὸ ἰλιόθεν. καὶ τὸ τάχιστος δὲ τὴν ἐπίτασιν ὡς ἐν ὑποκειμένῳ σημαίνει. οὐκέτι δὲ καὶ τὸ ἄγαν. αὐτὸ γὰρ μοναχῶς ἐπιτάσεώς ἐστιν ὄνομα. ὁμοίως δὲ καὶ τὸ γράψον πρὸς τὸ ἄγε. τὸ δὲ αἴθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι, οὐκ ἐκ παραλλήλου. διάκρισιν γὰρ παρυφίστησι προσώπου τὸ ὄφελες, ἥτις οὐκ ἔνεστι τῷ εἴθε.

**ὑποτακτική.**

τὴν δὲ ὑποτακτικὴν ἔνιοι καὶ διστατικὴν καλοῦσιν, ὅτι οὐκ ἔστι χωρὶς συνδέσμου διστατικοῦ τοῦ ἐάν. οὐ καθόλου δὲ τὸ τοιοῦτο. καὶ οἱ καλούμενοι γὰρ ἀποτελεστικοὶ σύνδεσμοι ἐπὶ τὴν αὐτὴν σύνταξιν φέρονται. σωκράτης περιπατεῖ ἵνα ὑγιαίνῃ. ὅτι μὲν οὖν οὐ συνίσταται εἰ μὴ ὑποταγῇ τοῖς προκειμένοις συνδέσμοις, προσαγορεύεται ὑποτακτική. φέρεται δὲ ἡ τοιαύτη μετὰ τοῦ ἐὰν καὶ τῶν ἴσων ἐπὶ μέλλοντα ἢ ἐνεστῶτα. οἷον, ἐὰν φιλολογῶ, παρέσται δίων. ἐὰν ἀναγινώσκω, παραγίνεται θέων. ὡσαύτως δὲ καὶ μετὰ τοῦ ἵνα, ἵνα φιλολογήσω παρέσται ἢ πάρεστι δίων. ἐὰν γε μὴν σύνταξις παρῳχημένου ἐγγένηται, ὁ σύνδεσμος καλείσθω αἰτιολογικός. ἵνα φιλολογήσω παρεγένετο δίων. τοῦτο δὲ καὶ ἀποτελεστικῶς ἔχει ἀκούεσθαι. ἐπὶ μέντοι τοῖς ἐσομένοις ἡ τοῦ αἰτιολογικοῦ σύνταξις οὐκ ἂν εἴη. ἐπὶ γὰρ γεγονόσι τὰ αἴτια ἐπιλέγεται. διὸ καὶ καταλληλότερον τὸ αἰτιολογικὸν ἐπιφερομένων τῶν παρῳχημένων, ἵνα διδάξῃ παρεγένετο δίων. οὐ παραγενήσεται. ἐπὶ μέντοι τοῦ ἀποτελεστικοῦ παραγενήσεται. ὡς δὲ πρὸς τὸ μέλλον ἢ ἐνεστὸς τὸ ὑποτακτικόν, οὕτω καὶ τὸ εὐκτικὸν ἐπὶ παρεληλυθότος. οἷον, παρεγένετο δίων ἵνα λιδάσκοιμι, ἢ διδάξαιμι. βούλεται γὰρ καθόλου τι τὸ τοιοῦτο εἶναι. κἂν μὴ ἀεὶ οὕτω χρωμένους ὁρῶμεν τοὺς λέγοντας.

**ἀπαρέμφατος.**

τὸ δ' ἀπαρέμφατον ὄνομά ἐστι ῥήματος. καὶ οἱ ἀπὸ τῆς στοᾶς δὲ τοῦτο μὲν ῥῆμα καλοῦσι. τὰ δὲ ἄλλα πάντα κατηγορήματα ἢ συμβάματα. διὸ καὶ ὡς ἐπὶ τὸ κοινὸν ὄνομα τὸ ἀπαρέμφατον πᾶσα ἀναλύεται ἔγκλισις. οἷον, περιπατεῖ θέων, ὁρίζομαι περιπατεῖν θέωνα. ἐξ ἀποφάσεως δὲ εἰς ἀφήγησιν μεταβάλλει ὁ λόγος. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐγκλίσεων, προσκειμένου ἀεὶ τοῦ τῆς ἐγκλίσεως ἰδιώματος. οἷον, εὔχομαι ἢ προστάττω. αὐτοῦ δὲ τοῦ ἀπαρεμφά-

VNIVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

τοῦ κυρίως οὐκ ἔσται ἔγκλισις. βουλήματος γὰρ οὐδεμίας ἐστὶ σημαντικόν. διαλύοιτο δ' ἂν καὶ ὧδε. ὑγιαίνει δίων. φασὶ δίωνα ὑγιαίνειν. λέγουσι δίωνα ὑβρίσαι θέωνα. ταῦτ' ἄρα καὶ ἡ τοῦ ἄρθρου προσθήκη κατάλληλος τοῖς ἀπαρεμφάτοις. καλὸν γὰρ φαμὲν τὸ ἀρετῆς ἀντιποιεῖσθαι. καὶ τοῦ φιλοσοφεῖν οὐδὲν ἥδιον. καὶ τῶν ἀνθέων τὸ ὀδωδέναι. ἀντὶ ὀνόματος οὖν ἡ χρῆσις. ἴδιον δὲ τοῦ ἀπαρεμφάτου πρὸς τὰς ἄλλας ἐγκλίσεις καὶ τό, τε αἰτιατικὴν περιέχειν. ἐπεὶ ὥστε ῥῆμα τὴν τοῦ ῥήματος διάφορον ἕξει μετάβασιν. οἷον, συγγινώσκειν σε τῷ ἡμαρτηκότι. καὶ τὸ παντὶ προσώπῳ καὶ παντὶ ἀριθμῷ συντάττεσθαι. διὰ τὸ ἀμοιρεῖν τῶν τοιούτων. καὶ τὸ ταῖς ἄλλαις ἐγκλίσεσι πάσαις, καὶ ἑαυτῷ δὴ συντάττεσθαι. ὁρῶ σε μελετᾶν ἀναγινώσκειν. καὶ μετοχῇ. μελετῶντα ἀναγινώσκειν. καὶ ὀνόματι. καλὸς ἰδεῖν. ἀνδρεῖος μάχεσθαι. καὶ τὸ τοῖς διωρισμένοις τρόποις περὶ συντάξεως ἅπασιν οἷόν τε εἶναι προσκεῖσθαι. διδάσκω σε διαλέγεσθαι. ἀπαιτῶ σε χρήματα δουλώσασθαι τοὺς ἐχθρούς. ἀκούω σου μαθεῖν τὰ περὶ τὴν πόλιν. ἀπολύω σε τῶν δεσμῶν πορεύεσθαι ὅπῃ δοκέῃ. δίδωμί σοι ἀργύριον πρίασθαι ὧν ἂν δέῃ. κοινωνῶ σοι τῶν ἀγαθῶν μὴ φθονερὸς εἶναι δοκεῖν. πολλαχῇ μέντοι τοῦ σαφεστέρου χάριν ὡς εἴρηται, προστεθέον ἢ ἀποστατικὸν τὸ ὥστε, ἢ ἐπιλλειπτικὸν τὸ τοῦ, ἢ προθετικὸν ὁμοῦ ἄρθρῳ. ὅπως ἂν ἡ χρεία ὑπαγορεύῃ. παρακαλῶ σε ταῦτα ὥστε τυχεῖν, τοῦ τυχεῖν, ἐφ' ᾧ τυχεῖν τιμῆς τε καὶ δόξης.

## προαιρετικὰ καὶ ὑπηρετικά.

μάλιστα δὲ ἐπὶ τοῖς προαιρετικοῖς καὶ ὑπηρετικοῖς καλουμένοις τὸ ἀπαρέμφατον ἐπιφέρεται. βούλομαι ἢ θέλω γράψαι. προαιροῦμαι ἢ ἐφίεμαι φιλοσοφεῖν. ἐπιθυμῶ ἰατρεύειν. ποθῶ ἰδεῖν. προθυμοῦμαι βοηθεῖν. ἐπίσταμαι ἢ δύναμαι γράφειν. καὶ ἔτι γε τοῖς ἀπροσώποις. δεῖ γενέσθαι. λέγεται ἀφικέσθαι πολλούς.

## ἐνεστὼς ἀόριστος.

ἀποδώσομεν δὲ ὡς ἁπλῶς εἰπεῖν τῷ μὲν τελικῷ κατά τε ἀόριστον καὶ ἐνεστῶτα. πορεύομαι ἐντυχεῖν τανδρί. ἀντιβολῶ σε παραγενέσθαι, ἢ παραγίνεσθαι. εἰ τὸ ἅπαξ ἢ τὸ πολλάκις ἐν χρείᾳ.

## ἐνεστὼς ἀόριτος μέλλων.

τῷ δὲ εἰδικῷ, κατά τε τὸ παρῆκον, καὶ τὸ ἐνεστὼς καὶ τὸ μέλλον. ἀλλ' οὐ πάντως. ἀλλ' ἀφηγηματικῶς μὲν καὶ δοξαστικῶς καὶ γνωστικῶς ὁτιοῦν. φασίν, ἢ δοκῶ, ἢ οἶδα τὸν ἄνδρα εἰρηκέναι, λέγειν, ἐρεῖν. ἐπαγγελτικῶς δὲ καὶ παρωνύμως πρὸς τὸ μέλλον. τὸ μέλλον ὑπισχνοῦμαι ἐρεῖν. ἐλπίζω ὄψεσθαι. μέλλω δράσειν. κατάλληλός γε μὴν καὶ ὁ ἐνεστὼς τῷ μέλλοντι. μέλλω δρᾶν. ἀποδοθήσεται δὲ καὶ τοῖς ἀπροσώποις τὰ περὶ τὸν χρόνον ὁμοίως τοῖς τελικοῖς, ὡς εἴρηται.

## πρόσωπα.

τῶν δὲ παρεπομένων τῷ ῥήματι τὰ πρόσωπα τρία ὄντα, πρῶτον, ᾧ περὶ ἑαυτοῦ φράζει ὁ λέγων, δεύτερον, ᾧ περὶ τοῦ πρὸς ὃν ὁ λόγος, τρίτον, ᾧ περὶ ἑτέρου, οὐκ ἰσοδύναμα ἀλλήλοις ἐστίν. ἀλλὰ πολὺ τὸ τρίτον λείπεται τοῦ πρώτου τε καὶ δευτέρου. τὸ δὲ δεύτερον ἔτι τοῦ πρώτου. καὶ οὖν πρώτου καὶ δευτέρου λαμβανομένου δίχα τρίτου, λόγος ἂν γίνοιτο, οἷον, τό. τοὶ γὰρ ἐγὼν ἐρέω σὺ δὲ σύνθεο καί μοι ὄμοσσον. τρίτον δ' οὐκ ἂν λέγοιτο, μὴ καὶ πρώτου ἢ δευτέρου λεγομένου ἢ



VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

συνυπακουομένου. σύλληψις. ἔτι τὸ μὲν πρῶτον καὶ δεύτερον δυνατὸν συλλαμβάνειν τὸ τρίτον εἰς πληθυντικὸν ἴδιον. τὸ δὲ τρίτον οὐδέτερον τούτων. καὶ γὰρ ἐγὼ μὲν κἀκεῖνος περιπατοῦμεν φαμέν. καὶ σὺ κἀκεῖνος περιπατεῖτε. οὐκέτι δὲ καὶ ἐκεῖνος κἀγὼ περιπατοῦσιν. ἢ ἐκεῖνος καὶ σὺ περιπατοῦσιν. ὡς δὲ τὸ τρίτον πρὸς τὸ πρῶτον καὶ δεύτερον ἔχει, οὕτω καὶ τὸ δεύτερον πρὸς τὸ πρῶτον τὸ μὲν γὰρ πρῶτον συλλαμβάνει τὸ δεύτερον. ἀνάπαλιν δ᾽ οὔ. ἐγὼ οὖν καὶ σὺ περιπατοῦμεν φαμέν. περιπατεῖτε δ᾽ οὔ.

περὶ μετοχῆς.

μετοχὴ δ᾽ ὡς καὶ τοὔνομα δηλοῖ, μέρος ἐστὶ λόγου μετέχον τοῦ ὀνόματος καὶ τοῦ ῥήματος. μετέχει δὲ τοῦ μέν, γένος καὶ πτῶσιν. τοῦ δέ, διάθεσιν καὶ χρόνον καὶ συζυγίαν. διὸ καὶ τῇ μέν, τῆς ἀμφὶ τοὔνομα συντάξεως ἔχεται. τῇ δέ, τῆς ἀμφὶ τὸ ῥῆμα. ὥστε καὶ ὡς ἔχει συντάξεως τὰ ῥήματα πρὸς ἄλληλά τε, καὶ πρὸς τὰ ὀνόματα, οὕτω καὶ αἱ μετοχαὶ πρὸς ἀλλήλας τε καὶ πρὸς τὰ ῥήματα καὶ ὀνόματα. ὡς γὰρ φαμὲν γράφειν ἐθέλω, καὶ τοῦ λέγειν ἐφίεμαι. οὕτω καὶ γράφειν ἐθέλων, καὶ τοῦ λέγειν ἐφιέμενος. καὶ βέλτιόν γε ἐπὶ μέλλοντος τὸ μετοχικόν. ἥκω ἐρῶν. πέμπω σε ἀγγελοῦντα. ἔτι ὡς δίδωμι σωκράτει, οὕτω καὶ ὁ διδοὺς σωκράτει. ἔτι ὡς φιλῶ τὸν σωτῆρα, οὕτω φιλῶ τὸν σώζοντα. καὶ ὡς θεῶμαι τοὺς γυμναστάς, οὕτω καὶ θεώμενος τοὺς γυμναζομένους. τὸ δὲ τόξων εὖ εἰδώς, ποιητικὸν κατὰ ἀντιμέρειαν. ὡσανεὶ ἐλέγετο τόξων εἰδήμων. φέρονται δὲ αἱ μετοχαὶ ἐπὶ τὰς αὐτὰς πτώσεις τῷ ῥήματι. καί τοι τῶν

ἄλλων πτωτικῶν, λέγω δὴ τῶν ἀπὸ ῥήματος γινομένων, οὐκ εἰς τὸ αὐτὸ τῆς συντάξεως φερομένων. κόπτω τοῦτον. κοπεὺς τούτου. ὅθεν καὶ δῆλον ὅτι πάντα τὰ πτωτικὰ ἐπὶ γενικήν. πλὴν τῶν μετοχῶν. ἔτι ὡς ἀπολελυμένως φαμὲν ἀναπνέω, καὶ ζῶ, καὶ γράφω, καὶ χαίρω. οὕτω καὶ ἀναπνέων ζῶ. καὶ γράφων χαίρω.

διατί εὕρηται ἡ μετοχή.

Ὅθεν καὶ δῆλον, ὅτι πολύ τι εἰς βραχυλογίαν καὶ ἑλληνισμὸν λόγου συμβάλλονται αἱ μετοχαί. πολὺ γάρ τοι διαφέρει εἰς εὐφραδίαν τὸ γράφων ἔλεγον, τοῦ ἔγραφον καὶ ἔλεγον. καὶ τὸ γράψας ὠφέλησα, τοῦ ἔγραψα καὶ ὠφέλησα. καίτοι σημασίας ὂν τῆς αὐτῆς. εἰ δὲ καὶ ἑτέρας, δεόντως. καὶ δὴ τὸ ῥῆμα εἰς τὸ πτωτικὸν μετηνέχθη σχῆμα. ἡ γὰρ τῆς μετοχῆς πρὸς τὸ ῥῆμα σύνταξις, δήλωμα ἂν εἴη αἰτίας. ὥστ᾽ ἴσον γενέσθαι τὸ γράψας ὠφέλησα τῷ ἐκ τοῦ γράψαι ὠφέλησα. πλαγίως. πολλὴ δὲ χρῆσις καὶ τοῦ πλαγίου τῶν μετοχῶν. οἷον, ἐμοῦ διδάσκοντος ἥκει σωκράτης. καὶ ἐμοῦ διδάσκοντος σὺ μανθάνεις. τό, τε πλάγιον τῆς συντάξεως τοῦτο ὡς ἐκεῖνο τὸ ὀρθὸν ἤτοι αἰτιωδῶς ἢ κατὰ συμβεβηκός. δύο μὲν τοίνυν τρόποι τῆς πρὸς τὸ ῥῆμα μετοχῆς συντάξεως οἱ εἰρημένοι. ὁ μὲν κατ᾽ ἀκολούθησιν ἀπ᾽ εὐθείας εἰς ῥῆμα ὁμοιοπροσωποῦν τῇ εὐθείᾳ. ἡ γάρ τοι παραλλαγὴ τοῦ προσώπου ἐνταῦθα σολοικισμός. ὡς εἴρηται πρότερον. σωκράτης περιπατῶν διαλέγεται. καλείσθω δὲ ὁ τοιοῦτος ταυτοπροσωπικός. ὁ δέ, ἀπὸ γενικῆς ἀδιαφόρως ἑτεροπροσωποῦντος τοῦ ῥήματος. σωκράτους διαλεγομένου, δι-

ων ἢ σὺ γράφεις. προσαγορευέσθω δὲ ἕτερο προσωπικὸς ἀμετάβατος. Τρίτος δὲ ὁ ἀπὸ δοτικῆς κατὰ διάφορον καὶ οὗτος ἐπαγωγὴν τοῦ ῥήματος. διαλεγομένῳ Σωκράτης παρῆν. Τέταρτος δ᾽ ὁ ἀπὸ αἰτιατικῆς διαφόρως καὶ οὗτος. διαλεγόμενον ὁρᾷς καὶ ἑώρα. Καθόλου δὲ ὁμοιογενῶς καὶ ὁμοιοπτώτως τοῖς ἐκ πρώτου πτωτικοῖς συντασσομένη ἡ μετοχὴ τὴν τοῦ ῥήματος ποιήσεται ἀκολούθησιν. ὁρῶ σε κρύπτοντα. ἐμοὶ βουλομένῳ ἦν. τοῦ μὲν ἀπέσχοντο ὡς προειδότος. Ἀπροσώπως. Ταῖς δὲ τῶν ἀπροσώπων μετοχαῖς ἴδιον μάλιστα τὸ τὴν εὐθεῖαν τῶν οὐδετέρων πρὸς ἀναπλήρωσιν γίνεσθαι τοῦ δευτέρου τρόπου. οἷον, ἄδηλον ὂν ὁπότε τὶς ἐπελθὼν ἄλλος ἀφαιρήσεται. καὶ ἰδιώτης ἦν ὡς οὐ μετὸν ἢ προσῆκον αὐτῷ τῆς ἀρχῆς. καὶ ἔπρασσον ταῦτα δέον ἕτερα. καὶ ἀκουσθὲν αὐτῷ τοὺς πολεμίους παρεῖναι, ἀντεπεξῄει εἰς μάχην. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Προσωπικῶς. αἱ δὲ τῶν προσωπικῶν καὶ εὐθυλογούμεναι, ἀδιαφόρως τοῖς τῶν ῥημάτων προσώποις συντάσσονται. γράφων ὠφελῶ. ὠφελεῖς. ὠφελεῖ. διὰ τὸ μὴ διακριτικὰς εἶναι προσώπων. καὶ ὀνόμασι μὲν συντασσόμεναι, ἐν ῥήματος μοίρα λαμβάνονται. τοὺς λόγους ἐπαινῶν. ῥήμασι δέ, ἐν μοίρα ὀνόματος. τοὺς λέγοντας ἐπαινῶ. κἂν ὁμοῦ ἀρσενικά τε καὶ θηλυκὰ προτάσσηται μετοχῆς, τὴν τοῦ ἐπικρατεστέρου γένους τουτέστι τοῦ ἀρσενικοῦ μετοχὴν ἐπάγειν. οἷον ἄνδρες καὶ γυναῖκες καθήμενοι διαλέγονται. δῆλον οὖν ὅτι καὶ θηλυκῶν προτασσομένων σὺν οὐδετέροις,

τὴν τοῦ θηλυκοῦ ἐποίσομεν ἅτε προτέρου. οἷον, τὸ ὁμήρου αἱ δέ που ἡμέτεραί τ᾽ ἄλοχοι καὶ νήπια τέκνα εἵατ᾽ ἐνὶ μεγάροις ποτιδέγμεναι. ἢν δ᾽ ἀρσενικὰ καὶ θηλυκὰ ὁμοῦ προταχθῇ κατὰ μετασχηματισμὸν φωνῆς ἀλλὰ μὴ κατὰ σημασίαν, τὴν οὐδετέραν ἀποδώσομεν μετοχήν. οἷον δὴ καὶ τό, νοῦς μὲν ἤδη καὶ αἴσθησις ἀπ᾽ ἀλλήλων διακριθέντα. ἔτι ἐὰν διάφορα προτάσσηται γένη χωρίς, ἡ μετοχὴ τοῦ ἐγγυτέρου ἔσται. οὐδὲ κἄρης λαοσσόος οὐδὲ κ᾽ ἀθήνη τόνγε ἰδοῦσ᾽ ὀνόσαιτο. συνάπτονται δὲ καὶ τοῖς ὑπαρκτικοῖς ῥήμασι μηδὲν πλέον δηλοῦσαι τῶν συστοίχων ῥημάτων. οἷον, γράφων εἰμί, καὶ γεγραφώς. ἴσον γὰρ τῷ γράφω, καὶ γέγραφα.

## περὶ ἄρθρου.

Τὸ δὲ ἄρθρον ἐστὶ μὲν λόγου πτωτικὸν μέρος προτασσόμενον τοῖς ὀνόμασι. διαιρεῖται δὲ εἰς προτακτικόν τε καὶ ὑποτακτικόν, ὡς διώρισται πρότερον. κυρίως γε μὴν ἄρθρον τὸ προτακτικόν. ποιεῖ δ᾽ ἀναπόλησιν προεγνωσμένου του ἐν τῇ συντάξει. οἷον, εἰ μὲν λέγοι τις, ἄνθρωπος ἥκει. ἄδηλον τίνα ἄνθρωπον λέγει. εἰ δὲ ὁ ἄνθρωπος, δῆλον, προεγνωσμένον γάρ τινα τῶν ἀνθρώπων. τοῦτο δ᾽ αὐτὸ βούλονται καὶ οἱ φάσκοντες τ᾽ ἄρθρον σημαντικὸν οὐ πρώτης γνώσεως ἀλλὰ δευτέρας.

Τὰ μὲν οὖν προτακτικὰ πάντων τῶν ὀνομάτων προτίθεται. τὰ δὲ ὑποτακτικὰ ἑνὸς ἀορίστου τοῦ τὶς ἐγκλινομένου, ὅστις. προτίθεται δὲ ταυτὸ ὁμοίως καὶ συνδέσμου τοῦ περ, ὅσπερ. καὶ τοῦ γε, ὅσγε. καὶ τοῦ πού, ὅσπου. ποιηταὶ δὲ καὶ ὅς ῥα, καὶ ὅσνυ λέγουσιν. ἀλλ᾽ ὅταν ἁπλῶς οὕτω λαμβάνη



VNiVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

ται, τῷ τις συντάσσεται μόνον, ἢ τῶν εἰρημένων
τῷ. ὅταν δὲ αὐτόν τις ἀγνοοῦντα δηλῶσαι βού-
ληται καὶ τὸ ποτε ἐπιπλέκει τῷ τις ἐγκλινόμενον.
οἷον, ὅστίς ποτε ἦν ἐκεῖνος. προσκείσθω δὲ τού-
τοις καὶ τὸ ἄττα, ὡς μὲν τὸ ἄτινα προτασσόμενον,
ἄττ᾽ ἂν εἴπῃς. ὡς δὲ τὸ τινὰ ὑποτασσόμενον, ὁποῖ
ἄττ᾽ ἂν ἦ. ἔτι τὰ μὲν προτακτικὰ ὀνομάτων καὶ
μετοχῶν καθόλου προτίθεται. ἀντωνυμιῶν δὲ οὐ
πασῶν. τὰ δὲ ὑποτακτικὰ καθόλου ὀνόμασί τε
καὶ μετοχαῖς καὶ ἀντωνυμίαις τυγχάνει ἑπόμε-
να. ἀκολουθητικὸν ἄρα τὸ ὑποτακτικὸν πάντων
τῶν πτωτικῶν. προηγητικὸν δέ, τῶν ῥημάτων.
οἷον, λέγοι τίς, σώφρων ὃς τῶν φαύλων κρατεῖ ἐ-
πιθυμιῶν. ὅθεν δὴ καὶ οὐ κυρίως ἂν εἴη ἄρθρον ταυ
τί. ῥημάτων γὰρ προηγεῖται τῶν μὴ πεφυκότων
ἄρθροις συνάπτεσθαι. Χρῆσις δὲ τοῦ προτα-
κτικοῦ κἀπὶ τῶν ἐπιμεριζομένων πτωτικῶν τοῖς
μεριστικοῖς καλουμένοις συνδέσμοις τῷ μεν καὶ
δε. τριχῶς δέ. ἢ γὰρ κατ᾽ εὐθεῖαν. οἷον, ἄνθρωποι οἱ
μὲν ἤδη εἰσέτρεχον. οἱ δὲ παρεσκευάζοντο. ἢ κατὰ
γενικήν. τῶν ἀνθρώπων οἱ μὲν ἕλληνες. οἱ δὲ βάρβα
ροι. ἢ κατὰ αἰτιατικήν. τοὺς στρατηγοὺς τοὺς μὲν ἔ
λαβον. τοὺς δὲ λαβεῖν οὐδαμῶς ἠδυνήθησαν.
πρόληψις. ἔνθα δὴ καὶ εἰ μὲν κατὰ πρόληψιν
πληθυντικὸν ῥῆμα προτάσσεται πρὸς ἑκάτερον
τὸ ἑπόμενον, εὐθεῖαν δεῖ προηγεῖσθαι ἐν τῇ ἀθροί
σει. οἷον, ἀετοὶ διέπτησαν δύο. ὁ μέν, ἀπ᾽ ἀνατολῶν
ὁ δέ, ἀπὸ δυσμῶν. εἰ δὲ πρὸς τὰ μεριζόμενα
ἑνικὸν ἕπεται, γενικὴν δέοι ἂν ἡγεῖσθαι πληθυντι-
κήν. δυοῖν ἀετοῖν ὁ μέν, ἀπ᾽ ἀνατολῶν ἔπτη. ὁ δέ,
ἀπὸ δυσμῶν. ἔξεστί γε μὴν καὶ τὸ ἑνικὸν ὁτὲ

μὲν εἰς ἑνικὰ διελεῖν. ὁτὲ δὲ εἰς πληθυντικά. τἀν-
θρώπειον γένος τῇ μέν, ἀγαθόν. τῇ δέ, φαῦλον. τἀν
θρωπείου γένους οἱ μέν, ἀγαθοί. οἱ δέ. φαῦλοι.
καὶ αὖ πάλιν τὸ πληθυντικὸν ὁτὲ μέν, εἰς πληθυν
τικά. ὁτὲ δέ, εἰς ἑνικά. τῶν ἀνθρώπων οἱ μέν, ἀγα-
θοί. οἱ δέ, φαῦλοι. δυοῖν ὀρνίθων ὁ μέν, πτητικός.
ὁ δέ, οὔ. εἰ μὲν οὖν εὐθεῖα ἡγεῖται, κείσθω ἐν τῇ
ἀθροίσει τὸ ῥῆμα. εἰ δὲ γενική, ἐν τοῖς μεριζομένοις
ὡς δέδεικται. βουλομένοις δὲ καὶ τὴν ἀθροι-
σιν καὶ τὸν μερισμὸν πλαγίως προενεγκεῖν, ἀνάγ
κη δὴ καὶ μετοχῇ χρῆσθαι πλαγίᾳ ἐν μοίρᾳ λαμ-
βανομένῃ ῥήματος, καὶ μετάβασιν ἑτεροπροσω-
πικῶς ποιεῖσθαι. ἀετῶν διαπτάντων, τοῦ μέν, ἀ-
π᾽ ἀνατολῶν. τοῦ δέ, ἀπὸ δυσμῶν, ἴσον τὸ τάχος.
καὶ πρὸς δοτικήν. ἀετοῖς διαπτᾶσι, τῷ μέν, τῷ δέ. καὶ
πρὸς αἰτιατικήν. ἀετοὺς διαπτάντας, τὸν μέν, τὸν
δέ. τὸ δ᾽ ὁμήρου ἄμφω δ᾽ ἑζομένω γεραρώτε-
ρος ἦεν ὀδυσσεύς, σολοικοφανές. ἴδιον δὲ τοῦ
προτακτικοῦ οὐδετέρου τὸ πᾶσι τοῖς τοῦ λόγου
μέρεσι καὶ τῷ λόγῳ αὐτῷ συντάττεσθαι ὁρικῶς.
οἷον, τὸ ἄνθρωπος. τὸ γυνή. τὸ λέγω. τὸ σωκρά-
της διαλέγεται. ὥσθ᾽ οὕτω καὶ εἴη ἂν ὡς οὐδέτερα
πάντα καὶ ἄκλιτα. ἔτι τὸ ὃς ὀνόματος αἰτιατι
κῇ ἐπιπλεκόμενον, ἀνάγκη μὴ πρὸς τὸ ἡγούμε-
νον ὄνομα μόνον, ἀλλὰ καὶ πρὸς τὸ συνημμένον
αὐτῷ ἕτερον ῥῆμα προφέρεσθαι. ἄνδρα μοι ἔννεπε
μοῦσα πολύτροπον. ὃς μάλα πολλὰ πλάγχη.
μετάβασις δὲ τοῦτο ἀπὸ προσώπου εἰς πρόσω
πον. εἰ δὲ εὐθεῖα συντάττοιτο εὐθεία, πρὸς τὸ
αὐτὸ πρόσωπον ἄμφω τὰ ῥήματα ἀναφέρεται.
ἦ κεν ἀνὴρ ὃς ἐπέστελλεν. εἰ δὲ δύο πλάγιαι εἰ

εν, ἤτοι πρὸς ἕτερον πρόσωπον μετάβασις γίνοιτ᾽ ἄν. οἷον, τὸν ἄνθρωπον ὃν ἐλεῶ τρέφω. ἢ κατ᾽ ἐπιστροφήν. ἐμαυτὸν ὃν φιλῶ θεραπεύω, εἰ δ᾽ ἡ μὲν τῶν πτώσεων εἴη εὐθεῖα, ἡ δὲ πλαγία, ἐνίοτε μὲν καὶ πρὸς τὴν εὐθεῖαν ἡ μετάβασις τοῦ ῥήματος γίνεται ἀπὸ προσώπου εἰς πρόσωπον. ἐπαινεῖ τοὺς δαναοὺς ὅμηρος ὃν τιμῶ. καὶ πάλιν τέθνηκε πάτροκλος ὃν ἐφίλει ὁ ἀχιλλεύς. ὡς ἐπὶ τὸ πλεῖστον δὲ πρὸς πλαγίαν. τιμῶ ὅμηρον ὃς τοὺς δαναοὺς ἐπαινεῖ. καὶ αἱ πλάγιαι δὲ τοῦ ὃς πρὸς τὰς εὐθείας ἁπάντων τῶν πτωτικῶν ἀναφέρονται. ὅμηρος, οὗ. ᾧ. ὅν. καὶ ἀνάπαλιν τῇ ὃς εὐθείᾳ πᾶσαι αἱ τῶν ἄλλων πτώσεις καταλλήλως συντάσσονται. ὅμηρος ὃς τὴν ἰλιάδα συνέγραψεν. ὁμήρου ὅς. ὁμήρῳ ὅς. ὅμηρον ὅς. ὅμηρε ὅς. καὶ ἔτι αἱ τοῦ ὃς πλάγιαι ταῖς τῶν πτωτικῶν πλαγίαις ἁπάσαις. ὁμήρου οὗ. ᾧ. ὅν. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. καὶ ὁμοῦ ταῖς προθέσεσιν. ἀφ᾽ οὗ. σὺν ᾧ. περὶ ὅν. ἔστι δ᾽ ὅτε καὶ μετὰ ὑποτακτικὸν εὐθὺς μετοχὴν ἐπάγομεν ὁμοιογενῆ καὶ ὁμοιόπτωτον καὶ ὁμοιάριθμον. ἢ πλαγιοσύντακτον κατὰ γενικὴν ἀεί. καὶ ἤτοι μόνην ἢ σὺν ὀνόματι ἢ ἐπιρρήματι. οἷον αἱροῦμαι ἀρετὴν ἣν παροῦσαν οὐδεὶς ἄν με ἀφέλοιτο. ἐπαινῶ τὸν τρόπον σωκράτους οὗ καθηγησαμένου ἢ σπουδαίου γενομένου πλεῖστοι ὤναντο τὰ εἰς ἀρετήν. καὶ σὺν ἐπιρρήματι, οὗ ἄριστα τὸν βίον διάγοντος. μετοχὴν δὲ ἑτεροπροσωπικῶς ὡς καὶ τοῖς κυρίοις καὶ προσηγορικοῖς ἐπάγομεν ὧδε. ἐπαινῶ σωκράτην οὗ ἀρετῆς ἐν ἑαυτῷ οὔσης τελείας, πολλοὶ μιμησάμενοι ἐπέδωσαν περὶ τὰ καλά. ἔτι τὸ ὑποτακτικὸν

πολλάκις οὖν πρὸς ἣν πτῶσιν ἀπαιτεῖ τὸ ἐπαγόμενον ῥῆμα ἀποδίδοται, ἀλλὰ πρὸς ἣν τὸ ἡγούμενον. ἀττικὸν δὲ τὸ τοιοῦτο. χρῶμαι οἷς ἔχω βιβλίοις. καὶ ἀπολαύω ὧν ἔχω ἀγαθῶν.

ἔτι τὸ ὑποτακτικὸν ἔστι μὲν οὖν πρὸς πληθυντικὸν ἑνικὸν ἀποδιδόμενον εὕρηται. οἷον, ἀνθρώπους τίνυνται ὅστις κεν ἐπίορκον ὀμόσσῃ. ἔστι δ᾽ οὖν τὸ ἀνάπαλιν. μή τις ἀχαιῶν ἐνθάδ᾽ ἐπέλθῃ βουληφόρος, οἵ τέ μοι ἀεὶ βουλὰς βουλεύουσι. προκείσθω δὲ καὶ λαμβάνειν ἔνθα ἂν οἷόν τε ᾖ, ἀντὶ τοῦ ὑποτακτικοῦ τὸ προτακτικόν. καὶ ἀντὶ ἑπομένου ῥήματος, μετοχήν. τὴν αὐτὴν τοῦ λόγου φυλάττοντας ἔννοιαν. εἶναί γε μὴν ὁμοιόπτωτα καὶ ὁμογενῆ καὶ ὁμοάριθμα τὰ μεταληφθέντα ἀλλήλοις τέ καὶ τοῖς ἡγουμένοις πτωτικοῖς δεῖ. σωκράτης ὃς πολλὰ πεποίηκεν ἀγαθά. ὁ πολλὰ πεποιηκὼς ἀγαθά. κἂν μὴ ᾖ δὲ τὸ ὑποτακτικὸν πρὸς τὸ ἐπαγόμενον ῥῆμα, μεταληπτέον τὸ σύστοιχον ἢ συνώνυμον τι ἢ ὅμοιον ὧδε. σωκράτης οὗ λόγος ἐπ᾽ ἀρετῇ πολύς. τοῦ μάλιστα δι᾽ ἀρετὴν ἐπαινουμένου. τοῦ πολὺν ἐπ᾽ ἀρετὴν λόγον ἔχοντος. σωκράτης ᾧ πλάτων διδασκάλῳ ἐχρήσατο. τῷ διδάξαντι πλάτωνα. ἢ καθηγησαμένῳ πλάτωνος. ἐλλειπτικῶς. πολλάκις δὲ τὰ ὑποτακτικὰ καὶ σὺν ἐλλείψει ἑτέρων πτωτικῶν κεῖται. ἧκεν ὃς ἐμοὶ φίλος. φείδομαι ὧν φείδεσθαι ἄξιον. κοινὸν δὲ τὸ τοιοῦτον πάντων τῶν ἀναφορικῶν. ἐλλειποπτωτεῖ δέ τι καὶ τὰ προτακτικά, ἀλλὰ πρὸς γενικήν, καὶ ἀφηγουμένην τὴν πτῶσιν συνεκφέρονται νοουμένην. οἷον, λόγος μὲν οὑτοσὶ πρῶτος. δεύτερος δὲ ὁ τῶν φιλοσόφων. ἀποδίδοται δὲ καὶ τῷ τις ἐρωτηματικῷ τὸ ὃς ὑποτακτικὸν μετὰ

VNiVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

ῥήματος τοῦ αὐτοῦ τῷ προηγουμένῳ, ἢ καὶ ἑτέρῳ τῷ. οἷον, τίς ἐποίησε τὴν ὀδύσσειαν; ὃς καὶ τὴν ἰλιάδα ἐποίησε. καὶ ἄνευ ῥήματος ἔξωθεν ἀπὸ κοινοῦ· τίς ἐποίησε τὴν ὀδύσσειαν; ὃς καὶ τὴν ἰλιάδα. ὅταν δὲ μεθ᾽ ἑτέρου, μοναχῶς. τίς κέρβερον ἐξ ᾅδου ἀνήγαγεν; ὃς τὸν ἐν νεμέᾳ λέοντα ἀνεῖλεν. καὶ σὺν προτακτικῷ δὲ ἄρθρῳ καὶ μετοχῇ γένοιτ᾽ ἂν ἡ ἀπόδοσις ὁμοίως. τίς ἐποίησε τὴν ὀδύσσειαν; ὁ καὶ τὴν ἰλιάδα ποιήσας. τίς ἀνήγαγεν κέρβερον; ὁ καὶ τὸν λέοντα ἀνελών. συνθήκη. βελτίων δὲ πολλάκις συνθήκη λόγου ἀποτελεῖται, τῶν ἄρθρων τοῖς ἰδίοις πτωτικοῖς μὴ συναπτομένων, ἀλλά τινος μεσοσυλλαβοῦντος ἑτέρου· οἷον, οἱ τὴν φροντίδα ἔχοντες. ἔνθα δὴ καὶ συμβαίνει ἐπάλληλά τε κεῖσθαι τὰ ἄρθρα καὶ μὴ τὴν αὐτὴν σύνταξιν ἔχειν τοῖς ἰδίοις πτωτικοῖς, ἀλλ᾽ ἀντίστροφον. τὸ γὰρ πρῶτον τῶν ἄρθρων ἀεὶ τοῦ δευτέρου τῶν πτωτικῶν γίνεται. λέγω δὲ περὶ δυοῖν ἀεὶ τελευτώντων. ὥστε κἂν τρία ἐπάλληλα ᾖ, ταυτὸ ἂν τῷ δευτέρῳ πρὸς τὸ πρῶτον συμβαίνειν, ὡς τό γε πρῶτον καὶ δεύτερον ὁμοιοτακτεῖσθαι τοῖς ἰδίοις αὐτῶν πτωτικοῖς, οὐδὲν ἂν κωλύοι. οἷον, οἱ τὴν τῶν ἀπόντων ἀνειληφότες φροντίδα. ἀλλὰ τὰ μὲν τοιαῦτα ἑτέρας ἐστὶ θεωρίας.

περὶ ἀντωνυμίας.

Ἀντωνυμία δὲ κατὰ τοὔνομα λέξις ἐστὶ λαμβανομένη ἀντὶ ὀνόματος. τῶν γὰρ ὀνομάτων πρώτου καὶ δευτέρου ἀμοιρούντων προσώπου, ἥδε πρόσεισι δυναμένη πᾶν πρόσωπον παρέχειν τοῖς ῥήμασιν εἰς λόγου τελείωσιν. ἐγὼ γράφω. σὺ γράφεις, ἐκεῖνος γράφει. διαίρεσις. αἱ

αἱρεῖται δὲ εἰς πρωτότυπον καὶ δεικτικὴν καὶ ἐπιταγματικήν, καὶ ὅσα ἄλλα διώρισται πρότερον. ἔστι δὲ καὶ ἡ μέν, ἐντελής. ταῦτα ἐμοί. ἡ δέ, ἐγκλιτική. ταῦτά μοι. καὶ αἱ μέν, αὐτοπαθεῖς εἴτουν ἰδιοπαθεῖς. ἐμαυτόν. αἱ δέ, ἑτεροπαθεῖς. οἷον, ἐμέ. πρωτότυποι. τῶν μὲν οὖν πρωτοτύπων αἱ εὐθεῖαι πρὸς ἀντιδιαστολὴν ἀεὶ ἑτέρων λαμβάνονται. ἡμεῖς εἴπομεν καὶ οὐχ ἕτεροι. ἐγὼ γέγραφα καὶ οὐχ ἕτερός τις. αἱ δὲ πλάγιαι, ἢν μὲν ὀρθοτονῶνται, καὶ αὗται δὴ πρόσωπα διαστέλλουσιν. ἐμοῦ ἤκουσας καὶ οὐκ ἄλλου. ἢν δὲ τὸ ἀρκτικὸν ἀποβάλλουσι φωνῆεν, ἀπολύτως λέγονται ἐγκλινόμεναι. ἤκουσάς μου. καὶ ἔδωκάς μοι. καὶ εὔφρανάς με. πάντῃ δὲ αὗταί τε καὶ αἱ καλούμεναι δεικτικαὶ καὶ ἀναφορικαί, οὐκ ἐπιδέχονται ἄρθρον. παράγωγοι. τῶν γε μὴν παραγώγων τὰ ἄρθρα προτίθενται. ὥσπερ καὶ τῶν ἐπιθέτων δὴ καὶ τῶν ὀνομάτων. ταυτὸν γάρ πως ἐκείνοις δύνανται. ὅλως τε σύνταξιν ἔχουσιν, ἣν τὰ ἐπίθετα καὶ αἱ μετοχαὶ πρὸς τὰ κύριά τε καὶ προσηγορικά. ὁμοιογενῶς δὲ καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως τοῖς κυρίοις καὶ προσηγορικοῖς συντάσσονται. ὁ ἐμὸς οἶκος. ἡ ἐμὴ οἰκία. τὸ ἐμὸν οἴκημα. ὁ ἡμέτερος πατήρ. ἡ ἡμετέρα μήτηρ. τὸ ἡμέτερον τέκνον. ἀνάγκη δὲ ταῖς κτητικαῖς ταῖσδε ῥήματι πρώτου ἢ δευτέρου προσώπου συναπτομέναις τὰς πρωτοτύπους συντάττειν, καθάπερ καὶ τοῖς ὀνόμασιν. οἷον, σὺ ὁ ἐμὸς παῖς μανθάνεις. ἐγὼ δὲ ὁ σός γε πατὴρ διδάσκω. ὥσπερ σὺ μὲν ὁ πλάτων διδάσκῃ. ἐγὼ δὲ ὁ σωκράτης διδάσκω. ἔτι αἱ μὲν τοῦ πρώτου καὶ δευτέρου προσώπου κτητικαί, τοῖς

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

ἔξωθεν εὖ μάλα προσώποις συνάπτονται. οἷον, ὁ ἐμὸς παῖς σὲ ἢ ἐκεῖνον φιλεῖ. αἱ δὲ τοῦ τρίτου, δίχα τοῦ ἑτέρου τὸν κεκτημένον δηλοῦντος αὐτόν, συνταχθῆναι πρὸς ἕτερον πρόσωπον οὐκ ἐθέλουσι. σολοικισμὸς γὰρ τὸ φάναι ὁ σφέτερος παῖς φιλεῖ ἐμέ. καὶ οὖν ὁ σφέτερος αὐτῶν παῖς ῥητέον. ἢ ὁ παῖς αὐτῶν ἄνευ τοῦ κτητικοῦ. ἀντιμετάβασις. κατὰ μέντοι γε ἀντιμετάβασιν εὖ ἔχει συντάξεως τὸ σφέτερον μόνον. ὡς καὶ τὰ τοῦ πρώτου καὶ δευτέρου προσώπου. κάλλω δὲ ἀντιμετάβασιν, ἵνα ἑκατέρωθεν ἐπὶ θάτερα μετάβασις θεωρεῖται ῥήματος. οἷον, δέονταί σου τοῖς σφετέροις ἐπικουρῆσαι. καὶ τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν. ἔτι αἱ κτητικαὶ ὡς ἁπλῶς εἰπεῖν πρὸς τὰ ἔχοντα οὐ πρὸς τὰ ἐχόμενα. οἷον, τὸ φῶς τῶν ἐμῶν ὀφθαλμῶν. ἐνίοτε μέντοι καὶ πρὸς τὰ ἐχόμενα. τὸ ἐμὸν φῶς τῶν ὀφθαλμῶν. ὅμοιον δὲ καὶ τὸ ἔγνως ἐννοσίγαιε ἐμὴν ἐν στήθεσι βουλήν. διαφορά. διαφέρει δὲ τὰ περὶ τὴν σύνταξιν ἡ παράγωγος ἀντωνυμία τῆς πρωτοτύπου. ἡ δὴ ἡμὲν πρωτότυπος συντάσσεται ῥήματι καὶ ὀνόματι καὶ μετοχῇ. παῖδα δέ μοι λύσατε φίλην. καὶ μὲν μευ βουλέων ξύνιον. ἀέκοντος ἐμοῖο. καὶ ταυτοπροσωπικῶς τε καὶ ἑτεροπροσωπικῶς, ἐκεῖνος τῆς ἀρχῆς λαβόμενος παροῦν δὲν ἦγε τοὺς ἄλλους. ὁ δὲ μεγίστης περὶ αὐτὸν συνειλεγμένης δυνάμεως, ᾔει ἐπὶ τοὺς πολεμίους, καὶ μὲν μευ βουλέων ξύνιον. οἷον δὴ καὶ τὸ δημοσθένους, κατασκευάσας γραφὴν οὐκ ἐπ' ἐμὲ ἀλλ' ἐπὶ τὸν θεῖόν μου. ἡ

δὲ παράγωγος ὀνόμασι μόνοις. τίσειαν δαναοὶ ἐμὰ δάκρυα. αὐτοπάθεια. ἐπ' αὐτοπαθείας γε μὴν οὔτ' οὖν πρωτοτύπῳ, ὅταν τὸ αὐτὸ πρόσωπον ἐνεργῇ τε καὶ πάσχῃ. οὔτ' οὖν παραγώγῳ χρώμεθα, ἀλλὰ τοῖς συνθέτοις. ἑαυτοῖς βοηθοῦμεν, καὶ ὅρα σαυτόν. ἐπαναφορά. συμβαίνει δὲ τῇ ἀντωνυμίᾳ καὶ ἐπαναφορὰ ἐν τρίτῳ προσώπῳ. δι' ἧς προειλεγμένα ἄττα ὀνόματα σὺν ἀναμνήσει ἀντωνομάζοιτ' ἄν, ληφθῆναι γε μὴν δυνάμενα ἔτι. ζεὺς δ' ἐπεὶ οὖν τρῶάς τε καὶ ἕκτορα νηυσὶ πέλασσεν, τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ' ἐχέμεν καὶ οἰζὺν νωλεμέως. αὐτὸς μὲν πάλιν τρέπεν ὄσσε φαεινώ. εἰ γάρ τις ζεύς πάλιν λέγοι καὶ οὐκ αὐτός, οὐ συντάξει ἀμφότερα πρὸς τὸν δία. ἀλλ' ἀρχὴν ὥσπερ λόγου ἑτέρου ποιήσεται. ἐγγὺς δέ τι τούτου. καὶ τὸ ὑπῆρχε τῷ κύρῳ αὐτὸν μᾶλλον φιλοῦσα. οὐ μόνον δὲ ἀντωνόμασται, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἀντωνυμιῶν ἐπινοῆσαί ἐστιν, ἀλλὰ καὶ ἀναφέρεταί γε, ὅπερ οὐκ ὀνομάτων ἂν εἴη. ἀλλ' ἢ προσλαβόντων τὰ ἄρθρα. δεικτικαί. οὐ καθάπερ δὴ αἱ ἀναφορικαὶ οὕτω τοι καὶ αἱ δεικτικαί, ἀντὶ προλεχθέντων ὀνομάτων λαμβάνονταί τινων. ἀλλ' ἀντὶ τῶν δεικτικῶς ἐξενεχθῆναι μὴ δυναμένων. ἴδιον γέ τοι τῶν ἀντωνυμιῶν καὶ τὸ κατὰ διαφόρους φωνὰς διάφορα ποιεῖν πρόσωπα τρίτα. τὰ γάρ τοι ῥήματα κατὰ μίαν φωνὴν πλείοσι τρίτοις ἀνήκει προσώποις. λέγομεν οὖν ὅτι γράφει σωκράτης, ἢ καλλίας, ἢ ὁστισοῦν. οὐκ ἔτι δὲ καὶ ἐπ' ἀντωνυμίας ὡσαύτως. ὥρισται δὲ τὰ τῶν ἀντωνυμιῶν πρόσωπα οὐ μόνον τῇ τῶν παρόντων δείξει, ἀλλὰ καὶ τῇ ἀναφορᾷ καὶ ἀναπολήσει τῶν ἀπόντων. ὅ

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

θεν δὴ καὶ τῷ ἀριστάρχῳ εἴρηται συζύγους εἶναι τοῖς προσώποις τὰς ἀντωνυμίας. ὁρίζεται γὰρ ὁμοίως κατὰ πᾶν πρόσωπον ἤτοι ἐνδείξει ἢ ἀναφορᾷ. τῶν ῥημάτων ἐν τρίτῳ προσώπῳ ἀοριστούντων. εἰ μὴ τῳ ἐξαίρετόν τι. οἷον, βροντᾷ, καὶ ἀστράπτει καὶ ὕει. τὸν γὰρ θεὸν ἐπινοητέον ὡς ταῦτ' ἐνεργοῦντα. ἐπεὶ τό γε τρίτον οὐ πάνυ τι οὐδ' ἐπὶ τούτων γε ὥρισται. καθόλου δὲ ὥσπερ τὰ ὀνόματα οὕτω καὶ αἱ ἀντωνυμίαι τοῖς ῥήμασι κατὰ πτῶσιν ἑκάστην συντάσσονται. καὶ ταῖς μὲν εὐθείαις ἀμεταβάτως. οἷον, οὗτος τρέχει. ταῖς δὲ πλαγίαις μεταβατικῶς, τούτου φείδομαι. τούτῳ χαρίζομαι. τοῦτον ἐπαινῶ. ἢν μὴ τὰ ῥήματα ἀπόλυτα ἄττα καὶ ἄσχετα ᾖ. οἷον, τὸ ζῶ. καὶ πλουτῶ. καὶ ὑγιαίνω. διακριτικόν. προστίθεμεν δὲ τὴν εὐθεῖαν τοῖς ῥήμασι πολλαχῇ οὐχ ὡς μὴ ἐνοῦσαν δυνάμει καὶ νοουμένην. ἀλλ' ἤτοι πλείονος ἐνδείξεως ἕνεκα ἢ διαστολῆς. διακριτικωτάτη γάρ τοι προσώπων ἡ ἀντωνυμία. ἄλλως τε κἂν σύνδεσμος προσλαμβάνηται ὧδε. σὺ μὲν ἐδίδασκες. ἐγὼ δὲ ἐφοίτων. σύνθετοι. τῶν δὲ συνθέτων χρῆσις μὲν ὥσπερ εἴρηται ἐπὰν τὸ αὐτὸ πρόσωπον ἐνεργῇ τε καὶ πάσχῃ, ἑκάστη δὲ ἐπὶ τὸ ἐνεργοῦν αὐτὸ ἐπιστρέφει, ἢ ἐπί τι τῶν αὐτοῦ, ὡσπερεὶ ἀντανακλωμένη. σώζω ἐμαυτόν. σώζω τὰ ἐμαυτοῦ. ἔστι δὲ φάναι καὶ τὰ ἐμαυτοῦ ἐμὲ σώζει. ὥστε διχῶς ἡ περὶ τὸ αὐτοπαθὲς κτητικὸν σύνταξις. ἤτοι ἀπὸ τοῦ κεκτημένου ἐπὶ τὸ κτῆμα. ἢ ἀνάπαλιν. ἔνθα δὴ καὶ μεταλαμβάνειν ἔξεστιν ὄνομα ἰσοδυναμοῦν. οἷον, τὸ ἴδιον. ἢ οἰκεῖον. ἢ τοιοῦτό τι. σωκράτης τὸν ἑαυτοῦ παῖδα παιδεύει. καὶ τὸν ἴδιον παῖδα. πρός τε αὐτῷ τῷ ὀνόματι καὶ τὴν γενικὴν τοῦ συνθέτου συντάσσειν, ἀφίημι κληρονόμον τὸν ἴδιον ἐμαυτοῦ παῖδα. φιλεῖ πᾶς ὁστισοῦν τὸν ἴδιον ἑαυτοῦ υἱόν. ὁμήρου ἴδιον τὸ βυβλίον. τῇ ἰδίᾳ τοῦ λέγοντος ἐπιμελείᾳ. κοινὸν δὲ ταυτὸ τοῦτο καὶ πρὸς τὰς κτητικάς. οἷον, σὸν ἄρα ἐστὶν ὦ σώκρατες καὶ τοῦτο γνῶναι τοῦ πάντα τὰ δίκαια ἐν ἡμῖν εἰδότος. καὶ τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου βίον. τὸ δ' ἐμὲ αὐτὸν ὠφελεῖ, ἐπιτατικῶς λέγεται πρὸς τὸ ἐμὲ ὠφελεῖ ἀπολελυμένον.

ὅτι δὲ τὸ σύνθετον ἐπὶ μόνων τῶν ἑνικῶν, διὰ τοῦτο τῇ ἀναφορικῇ συντάσσοντες, ταῖς ἁπλαῖς χρώμεθα ὁμοιοπτώτως ἐπί τε δυϊκοῦ καὶ πληθυντικοῦ. οἷον, νῶϊ αὐτὼ ὠφελοῦμεν. νῶϊν αὐτοῖν ἀπτώμεθα. σφῶϊ αὐτὼ ὠφελεῖτον. οὐκ ἔτι δὲ καὶ ἐπὶ τοῦ τρίτου ὁμοίως. κἀπὶ τῶν πληθυντικῶν δέ τοι ὡσαύτως. ἡμῶν αὐτῶν. ἡμῖν αὐτοῖς. ἡμᾶς αὐτούς. σφῶν αὐτῶν. σφίσιν αὐτοῖς. σφᾶς αὐτούς. ἔστι γε μὴν πληθύνοντι λέγειν, καὶ ἑαυτῶν. ἑαυτοῖς. ἑαυτούς. κοινῇ κατὰ πάντων προσώπων. ἑαυτοὺς ὠφελοῦμεν. ὠφελεῖτε. ὠφελοῦσιν. οὐκ ἔτι δὲ καὶ ἑαυτὸν ὠφελῶ. ἢ ὠφελεῖς. διελέγχεται γάρ τοι ἀκαταλλήλως ἔχον ὑπὸ τοῦ ἐμαυτὸν ἢ σαυτόν, ὡς εἴρηται. ἀλληλοπαθές. παραπλήσια δέ πως τούτοισι καὶ ἡ τοῦ ἀλλήλου σύνταξις. δι' αὐτοπάθειαν γὰρ τοῦ ὅλου ἀθροίσματος καὶ ταῦτα ἐπὶ τῶν συμπλεκομένων λαμβάνοντες λέγομεν. ἀλλήλους ὠφελοῦμεν. ὠφελεῖτε. ὠφελοῦσιν. ὅτι γε μὴν οὐ τὰ μέρη καθ' ἕκαστον ὑφ' ἑαυτῶν πάσχει ἀλλ' ὑφ' ἑτέρου ἀμοιβαδόν, προσαγορευέσθω ἡμῖν μὴ αὐτοπαθὲς τὸ τοιοῦτο, ἀλλ' ἀλλη-

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

λοπαθές. δῆλον δ᾽ ἄρα καὶ ὡς αἱ τοιαῦται ἀντω-
νυμίαι ῥήματα οὐκ ἂν ἐπιδέχοιντο παθητικά. τὸ
γὰρ αὐτοπαθὲς ἐνέργεια τοῦ εἰς ἑαυτὸ ἐνεργοῦν-
τός ἐστιν ὡς εἴρηται.

## περὶ προθέσεως.

ἡ δὲ προτιθεμένη λέξις πάντων τῶν τοῦ λόγου
μερῶν, καὶ διὰ τοῦτο πρόθεσις ὀνομαζομένη, δι-
ήρηται μὲν πρότερον. ἐνταῦθα δὲ ὅπως συντάξε-
ται θεωρῶμεν. προτίθεται μὲν οὖν τῶν τοῦ λό-
γου μερῶν ἢ κατὰ σύνθεσιν ἢ κατὰ παράθεσιν. συν-
θέσεως μὲν γὰρ τὸ σύνοικος. πάροικος. ἔποικος.
μέτοικος. παραθέσεως δὲ, τὸ ἐπὶ τὴν ἀττικήν. ἢ κα-
τὰ τῆς ἀττικῆς, ταύτην δὲ τὴν ἐκ παραθέσεως σύν-
ταξιν δηλοῦν βούλονται, καὶ οἱ προτίθεσθαι λέ-
γοντες ἔν τε συνθέσει καὶ συντάξει. ἐοίκασι δ᾽ αἱ
προθέσεις συνδεσμικῆς συντάξεως γενόμεναι
παρεμφαντικαί. ὅθεν καὶ τοῖς στωϊκοῖς προθετι-
κοὶ σύνδεσμοι ἐκαλοῦντο. τὸ γὰρ διατί λυπῇ, τὸ
ἕνεκα τίνος λυπῇ, παρεμφαίνει. καὶ τὸ ἐκ ῥαθυμί-
ας, τὸ ἕνεκα ῥαθυμίας. οὐ δὴ οὖν ἀπεμφαῖνον, εἰ
καὶ τὸ ὅτι παραδεξάμενον τὴν διὰ καὶ κατὰ, σύν-
ταξιν ἐπέχει συνδεσμικήν. τοῖς γε μὴν ῥήμασιν ἀ-
εὶ κατὰ σύνθεσιν αἱ προθέσεις. οἷον, καταγράφω.
καὶ προκαλοῦμαι. ἔνδοθέν τε ἡ κλίσις κατέγρα-
φον, εἴ τι τοῦ ἁπλοῦ διαφέρον, δηλοῦται ἐκ τῆς
συνθέσεως. εἰ γὰρ μηδέν τι πλέον, ἔξωθεν ἡ κλίσις,
καθάπερ καὶ τοῖς ἁπλοῖς. καθεύδω, ἐκάθευδον. κα-
θέζομαι, ἐκαθεζόμην. πρόθεσις δὲ κατὰ παράθεσιν
σὺν εὐθείᾳ ἢ κλητικῇ οὐδέποτε τάξεται. συντάσ-
σεται δὲ ταῖς πλαγίαις ὧδε. ἐν. ἡ μὲν ἐν, ἀεὶ
δοτικῇ. ἐν οἴκῳ. ἐν ἀγορᾷ. τὸ δ᾽ ἐν ᾅδου καὶ ἐν δ

oportet et hic subaudire

σκάλου, ἐλλειπτικῶς. δεῖ γὰρ κἀνταῦθα ἐπινοεῖν
τὴν τόπῳ καὶ οἴκῳ δοτικήν. εἰς. ἡ δὲ εἰς, ἀεὶ αἰτια-
τικῇ. εἰς ἐκκλησίαν εἰς ἀγοράν. τὸ δὲ εἰς ᾅδου καὶ
εἰς διδασκάλου, ἐλλειπτικῶς. ὡς ἐπὶ τῆς ἐν. ἀλλὰ
γὰρ ἐπὶ μὲν ἀψύχων, τῇ εἰς. ἐπὶ δὲ ἐμψύχων τῇ
πρός μάλιστά γε χρηστέον. πορεύομαι εἰς ἀγο-
ράν. πέμπω τὸ χρυσίον πρὸς σέ. ἰδιαίτερον δὲ τῇ
μὲν εἰς, ἐπὶ ἐπαίνου καὶ ἀναφορᾶς. τῇ δὲ πρός, τὸ
ἀνάπαλιν. ἀνήνεγκε μὲν γὰρ εἰς τὸν ἄρχοντα φα-
μέν, καὶ ὕμνους εἰς ἀπόλλωνα. πολεμεῖ δὲ πρὸς
ὁμόρους. καθ᾽ ἣν δὴ ἔννοιαν καὶ τῇ εἰς ἔστιν ὅτε χρη-
στέον. ἠγνωμόνηκεσαν εἰς ἡμᾶς. ἐξ. ἡ δὲ ἐξ. ἀεὶ γε-
νικῇ. ἐξ ἀττικῆς, ἐκ μεγάρων. σύν. ἡ δὲ σύν. ἀεὶ δο-
τικῇ. σὺν θεῷ. σὺν λόγῳ. ¶ πρός. ἡ δὲ πρός, γενικῇ,
καὶ δοτικῇ, καὶ αἰτιατικῇ. γενικῇ μέν, ὅταν τὴν ἀ-
πὸ προσώπου σημαίνει κίνησιν. πρὸς θεοῦ τἀγα-
θά. ἢ τάσσηται ἐπὶ ὅρκου, ἧκε πρὸς θεοῦ. ἢ τὸ ἐναν-
τίον δηλοῖ. πρός τε θεῶν μακάρων, πρός τε θνητῶν
ἀνθρώπων. ἢ τὸ καθῆκον. οὐ πρὸς ἰατροῦ σοφοῦ
θροεῖν ἐπῳδάς. δοτικῇ δέ, ὅταν τὸ ἐγγύς τε καὶ
παρακείμενον. οἷον, πρὸς τοῖς ποσίν. αἰτιατικῇ
δέ, ὅταν κίνησιν πρὸς ἔμψυχον μάλιστά τι, καὶ ὡς
ἄλλως δὴ εἴρηται. καὶ ἔτι ὅταν ἡ σχέσιν τινὰ καὶ
λόγον. ὡς τὰ δύο πρὸς τὰ τέσσαρα, οὕτω καὶ τὰ
τέσσαρα πρὸς τὰ ὀκτώ. ἢ παράδειγμα. ᾄδει πρὸς
αὐλόν. πρό. ἡ δὲ πρό, ἀεὶ γενικῇ. πρὸ τῶν θυ-
ρῶν. πρὸ τοῦ χρόνου, ἀμά. ἡ δὲ ἀμά, ἀ-
εὶ αἰτιατικῇ. ἀμά τε ἔντεα καὶ μέλαν αἷμα. κα-
τά. ἡ δὲ κατά, γενικῇ καὶ αἰτιατικῇ. γενικῇ μέν,
ἐπὶ καταφορᾶς καὶ κατηγορίας. κατὰ αἰσχίνου
λόγος. καὶ ὅταν τὸ ἐπάνω καὶ περί τι ἢ περί του

σὺν ἔτι τῇ δοτικῇ συντάσσεται ἔστι τετ τικὸς ὁ λόγος



VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

δηλοῖ. κατὰ γῆς κάθημαι. κατ᾽ ἀνθρώπου τὸ ζῶον,
τὸ δὲ κατ᾽ οὐλύμποιο καρήνων, ἀντὶ τοῦ ἀπό. αἰτια
τικῇ δέ, ὅταν τὸ παραβαλλόμενόν τε καὶ ὅμοιον.
οἷον, καθ᾽ ὅμηρον. κατὰ νοῦν προχωρεῖ. ἢ τὸ περί τι
καὶ ἔν τινι. καθ᾽ ὁδὸν ταῦτα ἐποίουν. καὶ ἔμενον κα
τὰ χώραν. ἢ χρόνου. ὁ καθ᾽ ἡμᾶς γεγονὼς ἀνὴρ ἔν
δοξος. διά. ἡ δὲ διά, γενικῇ μέν, ἐνέργειάν τινα ἢ
τὸ μέσον δηλοῦσα. διὰ σοῦ ταῦτα ἂν ἄμεινον γί
νοιτο. καὶ ἐπορευόμην δι᾽ ἀγορᾶς. αἰτιατικῇ δέ,
αἰτίαν. διὰ σὲ ταῦτα γράφω. ὅμηρος δὲ καὶ τὸ μέ=
σον αἰτιατικῇ ἐνίοτε φράζει. διά τε ἔντεα καὶ μέλαν
αἷμα. μετά. ἡ δὲ μετά, γενικῇ μέν, τὸ ὁμοῦ ση=
μαίνουσα. ἡδὺς μετὰ φίλων ὁ βίος. τὸ δὲ μετὰ τρι
τάτοισιν ἄνασσε, ποιητικόν. αἰτιατικῇ δέ, τὸ ὕστε
ρον. μετὰ τὴν ἑορτήν. καὶ πλάτων μετὰ σωκράτη.
παρά. ἡ δὲ παρά, γενικῇ μέν, τὴν ἀπὸ προσώπου
σημαίνουσα κίνησιν. οἷον παρὰ θεοῦ τἀγαθά. ἡ
μὲν γὰρ ἀπὸ καὶ ἐκ, τῇ ἀπὸ τόπου μάλιστα κινή
σει οἰκεῖαι. ἡ δὲ παρὰ καὶ πρός, τῇ ἀπὸ προσώπου.
δοτικῇ δέ, στάσιν καὶ τὸ ἐγγύς. παρ᾽ ἐμοὶ διατρί=
βει. αἰτιατικῇ δέ. κίνησιν ἐπί τι. παρὰ σὲ ἔρχομαι.
ἢ τὸ διατί. παρὰ τὸ ἀδικεῖν ἡ τιμωρία. ἢ τὸ ἔξω
σκοποῦ καὶ ἐπαγγελίας. οἷον, παρὰ γνώμην συμ
βαίνει. ἀντί. ἡ δ᾽ ἀντί, ἀεὶ γενικῇ. ἀντὶ πολλῶν.
ἀνθ᾽ ἑνός. ἐπί. ἡ δ᾽ ἐπί, γενικῇ καὶ δοτικῇ καὶ αἰτια=
τικῇ. γενικῇ μέν, χρόνον δηλοῦσα. ἐπὶ ἄρχοντος
ἀθήνησι πυθοδώρου. ἢ τὸ περί τι καὶ ἔν τινι. ἐπὶ
πολλῶν μάθοι τὶς ἂν τὰ λεγόμενα. ἢ τὸ ἐπάνω.
τὰ τετράποδα ἐπὶ γῆς. δοτικῇ δέ, αἰτιολογοῦσα
τὸ οὗ ἕνεκα. οἷον, ἐπὶ ἀγαθῷ πάντα ἐποίει. ἢ δύ=
ναμιν καὶ αὐτεξούσιόν τι δηλοῦσα. ἐπὶ τῷ βασι=

λεῖ τὰ τῶν ὑπηκόων. ἢ τὸ ὕστερόν τε καὶ δευτε=
ρος χετον. ἐπὶ τούτοις πολλὰ ἕτερα διέξεισι. ἢ τὸ
ἐπάνω. ἐπὶ κρηπῖδι ὁ τοῖχος ἕστηκεν ἰσχυρᾶ. αἰτια
τικῇ δέ, κίνησίν τινα λέγουσα. ἐπὶ τὴν ἀττικὴν ἐπο
ρεύετο. καὶ γενικῇ δέ, ταυτὸ τοῦτο ἔσθ᾽ ὅτε δηλοῖ.
ἐπὶ οἴκου. καὶ ἐπὶ τῆς χώρας. ὀρθῶς μὲν καὶ ἀττι=
κῶς. οὐ κατὰ πολλὴν δέ τινα χρῆσιν. περί.
ἡ δὲ περί, γενικῇ μέν, αἰτιολογοῦσα. περὶ προθέ=
σεως γράφω. τὸ δὲ περί του δεδοικέναι μοναδι=
κόν. αἰτιατικῇ δέ, κύκλῳ σημαίνουσα καὶ περιποι
ητικὸν ἢ συστατικόν. οἷον, περὶ τὴν πόλιν τὸ στρά
τευμα. τὸ δ᾽ ἐρωήσει περὶ δουρὶ καὶ περὶ πύργῳ,
ποιητικά. ἀμφί. ἡ δὲ ἀμφί, ὡς ὁμόσση
μός τε ἐστὶ καὶ ὁμοιοσύντακτος τῇ περί. συνηθεσ=
τέρα μέντοι γε ἡ περί. ἀπό. ἡ δὲ ἀπό,
ἀεὶ γενικῇ. ἀπὸ δικαίου. ἀφ᾽ ἑτέρου. ὑπό.
ἡ δὲ ὑπό, γενικῇ, αἰτιολογοῦσα τὸ ποιητικόν. οὐ
δ᾽ ὑπὸ πενίας εὐεργετῶ. καὶ ἔτι τὸ ὑποκάτω ση=
μαίνουσα. ὑφ᾽ εἵματος κρύπτοντα χεῖρα. ὁ δὴ καὶ
δοτικῇ καὶ αἰτιατικῇ συντασσομένη δηλοῖ. ὑπὸ
δένδρον, καὶ ὑπὸ δένδρῳ. ὑπέρ. ἡ δὲ ὑ=
πέρ, γενικῇ μέν, ἐπὶ βοηθείας. οἷον, ὑπὲρ κτησιφῶν
τος ὁ λόγος. καὶ αἰτιολογίας ὁμοίως τῇ περί. ὑ=
πὲρ ὧν εἶπον πάλιν ἐρῶ. καὶ ὅταν τὸ ἐπάνω δη=
λοῖ. ὑπὲρ καπνοῦ τίθησι τὸ πηδάλιον. αἰτιατικῇ
δέ, τὸ πλέον τε καὶ ἐπέκεινα, καὶ ὅλως ὑπερκείμε
νον ἀποφέρεται. οἷον, ὑπὲρ ἄνθρωπον τί ἐστιν ὁ=
θεὸς εἰδέναι. συντεθεῖσαι δὲ τοῖς ῥήμασιν αἱ
προθέσεις, τὴν ἰδίαν ἔτι φυλάττουσαι σημασίαν,
ἀπαιτοῦσι τὴν αὐτῶν πτῶσιν ὡς ἁπλῶς εἰπεῖν



UNIVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

ἅπασαι. κατηγορῶ σου. ἀφίστημί σου. ὑπερέχω σου. παραινῶ σοι. ὅτι μὴ ἐπὶ τῶν κτητικῶν καὶ περιποιητικῶν. ἐμφοροῦμαι. ἐντρυφῶ. καὶ παραπολαύω σου. καὶ περιτίθημί σοι. ἥ γε μὴν κατὰ συντεθεῖσα καὶ ἐπιτείνει ὁμοιοπτώτως. κατεσθίει πάντα. κάτειπέ μοι. καὶ ταῦτα μέντοι καὶ εἴ τι ὡς σύνθετον οὕτω προφέροιτο ἕτερον, μηδὲ τοῦ προθετικοῦ ἰδιώματος ἀπολείπεσθαι, οὐδὲν ἂν κωλύοι. κατειπεῖν οὖν ἑτέρου. καὶ κατεσθίειν. καὶ καθορᾶν. καλείσθω δὲ τὸ μέν, προθετικόν. τὸ δέ, ῥηματικόν. ἀναστροφή. ἀναστρέφονται δέ, αἱ μὲν μονοσύλλαβοι ἐπὶ τέλει που τῶν ἐπῶν. ὡς ἐπὶ τῶν ὁμηρικῶν ἐκείνων. οὐ μέντοι κακὸς εἴδεται οὐδὲ κακῶν ἔξ. ἤλθεν ἀργυρότοξος ἀρτέμιδι ξύν. τῶν δὲ δισυλλάβων ἔν τε τοῖς πεζοῖς καὶ ἐν τοῖς ἐμμέτροις. πλὴν τῆς διά, καὶ ἀνά. ἵνα μὴ συνεμπέσῃ ἡ μέν, τῇ δία αἰτιατικῇ. ἡ δὲ τῇ ἄνα κλητικῇ. ἄνα λητοῦς υἱέ. ὀρθοτονεῖσθαι γὰρ ἐπὶ τῆς παραληγούσης ὀρθείᾳ τάσει ἀνάγκη. αἱ δὲ τρίχρονοι, οὔ. οἷον, ἥ τε ἀντὶ καὶ ἡ ἀμφί. ὅθεν οὐδὲ τῷ ι πλεονάζουσαι. οἷον, καταί παραί. ὑπείρ. ἅτε δὴ γενόμεναι τρίχρονοι. ἡ δὲ ἐν προσλαβοῦσα τὸ ι, καὶ γινομένη ἐνὶ καὶ δισυλλαβήσασα καὶ διχρονήσασα ἀναστρέφεται. οἷον, ἡμετέρω ἔνι οἴκω. καὶ ὧ ἔνι κούρη κοιμᾶται. ἐνίοτε δὲ καὶ αἱ δισύλλαβοι διχρονοῦσαι, ὅμως οὐκ ἀναστρέφονται. οἷον, ἰθάκην κατακοιρανέουσι. καὶ εὗρε δὲ πατρόκλῳ περικείμενον. εἰ δὲ μεταξὺ δυοῖν ὀνομάτων ἡ πρόθεσις, τοῦ μὲν κυρίου, τοῦ δὲ προσηγορικοῦ ἢ ἐπιθέτου, ἀναστρέφειν δεῖ. ἵνα τοῦ ὅλου προηγήσηται λόγου. οἷον, ποταμοῦ ἄπο σελλήεντος. καὶ ξάνθω ἔπι δινήεντι. ὡσαύτως δὲ κἂν μεταξὺ κυρίων δυοῖν ἢ προσηγορικῶν κέηται, συνδέσμου μετὰ τὴν πρόθεσιν ἐπιφερομένου. οἷον νηῶν ἄπο καὶ κλισιάων. ἀγαμέμνονος πέρι καὶ ἀχιλλέως. κἂν μεταξὺ μὲν ἐμπίπτῃ, καὶ μηθὲν ἕτερον μέρος λόγου μεσοσυλλαβῇ, ὑποτάττηται δὲ οὗπερ ἐχρῆν προηγεῖσθαι, ἀναστρέφεται ἔτι. οἷον, ὧ ἔπι πόλλ' ἐμόγησα. ἰθάκῃ ἔνι οἰκία ναίων. θεῶν ἄπο μήδεα εἰδώς. ἐὰν δὲ μεταξὺ προθέσεως καὶ τοῦ ῥήματος ἢ τοῦ ὀνόματος πρὸς ὃ ἡ πρόθεσις, μέρος λόγου ἕτερον παρεμπίπτῃ, οὐκ ἀναστρέφεται. τῷ δ' ἔπι τυδείδης ὦρτο. εἰ μέντοι εἴη ἐπὶ τέλει τοῦ ἔπους καὶ ἁπλῶς εἰπεῖν ἐν στιγμῇ νοήματος, ἀναστρέφεται καὶ μεσοσυλλαβοῦντός του. πάντων δ' ἔπτυσε πολὺ κάτα. καὶ αἱ παθοῦσαι δὲ ἔκθλιψιν τοῦ φωνήεντος οὐκ ἀναστρέφονται. εἰ μὴ στιγμὴ ἐπιφέροιτό τις. ἢ τὸ σημαινόμενον διαφθείροιτο μὴ ἀναστρεφομένης. ὡς ἐπὶ τοῦ στεῦτο γὰρ ἡφαίστοιο πάροισ' ἔμεν ὅπλα. ποιηταὶ μὲν οὖν μετὰ τὰς προθέσεις ἐνίοτε στίζουσι. λογογράφοι δ' οὔ. ὅτι μὴ ἐπὶ τῆς πρός. ταύτην γὰρ μόνην καὶ πρὸ στιγμῆς τάττουσιν. ὡς τὸ καὶ μικρόν τι πρός. ἔνιοι δὲ καὶ κατ' ἔλλειψιν προθέσεων λέγεσθαι τὰ τοιαῦτά φασι. βοῦν σίτου ὠνοῦμαι. ἐνδεῖν γὰρ τὴν διά. πολὺς τὸν λόγον. ἐνδεῖν τὴν κατά. ἡδὺ τῶν φυτῶν ἀναπνεῖ. καὶ δρέπομαι τῶν ἀνθέων. καὶ πίνω τοῦ ὕδατος. καὶ κρεμῶ σε τοῦ ποδός. ἐνδεῖν τὴν ἀπό.

## περὶ ἐπιρρήματος.

τὸ δ' ἐπίρρημα, πρὸς τὰ ῥήματα ἔχει τὴν σύνταξιν. αἰεὶ γὰρ ῥήματι προηγεῖται ἢ ἐφέπεται ταῖς λεγο



VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

μέναις ἐνεργίαις ἐπιλεγόμενον. ὅθεν καὶ τὴν προ
σηγορίαν ἀπηνέγκατο καὶ τὸν λόγον. ἔστι γὰρ μέ
ρος λόγου ἄπτωτον κατὰ ῥήματος λεγόμενον ἢ
ἐπιλεγόμενον ῥήματι καὶ οἷον ἐπίθετον ῥήματος.
καθάπερ οὖν τὰ τῶν ὀνομάτων ἐπίθετα τῶν κυ
ρίων κατηγορεῖται καὶ προσηγορικῶν, οὕτω δὴ
καὶ τὰ ἐπιῤῥήματα. κἂν γάρ τοι μεταξὺ τοῦ ῥήμα
τος καὶ ἐπιῤῥήματος τύχῃ παραπεσόντα πλείονα
ἄττα, ὅμως μέντοι αὐτὸ τὸ ἐπίῤῥημα πρὸς τὸ
ῥῆμα ἀναφερόμενον λέγεται. καὶ μὲν δὴ πλείω
πολλάκις συμπλέκοντες ἐπιῤῥήματα, ἑνί τῳ ῥή=
ματι ἀποδίδομεν ἱκανῶς, οἷον καλῶς καὶ εὐσεβῶς
καὶ δεόντως πεποίηκας. κοινὸν δὲ τὸ τοιοῦτο.
ἔχει μὲν οὖν τὰ ἐπιῤῥήματα τὴν σύνταξιν πρὸς τὸ
ῥῆμα. πλὴν τοῦ κλητικοῦ ἐπιφθέγματος, καὶ τῶν
σχετλιαστικῶν, καὶ θαυμαστικῶν, καὶ τῶν θετικῶν.
τὸ μὲν γάρ τοι, πρὸς κλητικήν. ὦ φίλε πῶλε. τὰ μέν,
πρὸς γενικήν. φεῦ τῶν κακῶν. ὢ τοῦ μεγέθους. τὰ
δέ, πρὸς δοτικὴν ἢ αἰτιατικήν. γραπτέον ἡμῖν. γρα
πτέον ἡμᾶς. ἔστι δὲ χρῆσθαι σχετλιαστικοῖς τε
καὶ θετικοῖς καὶ ἄνευ τινὸς ἐπεκφορᾶς πτωτικῆς.
τὰ μὲν οὖν, πτωτικῶς συντάσσεται. φεῦ τοῦ
μεγέθους. τὰ δέ, ῥηματικῶς. εὖ ἔχει. τὰ δέ, συ
ναμφοτέρως. πόῤῥω ἡμῶν οἰκεῖς, καὶ τὰ μέν, συ=
ναμφοτέρως καὶ ῥηματικῶς. οἷον. πόρρω οἰκεῖ.
τὰ δέ, ῥηματικῶς ἢ πτωτικῶς, οὐκ ἐξ ἀνάγκης δὴ
καὶ συναμφοτέρως. Χρονικά. τῶν δὲ χρονικῶν,
τὸ μὲν νῦν πᾶσι τοῖς τοῦ χρόνου μορίοις συντάσ
σεται. πλὴν τοῦ ὑπερσυντελίκου. νῦν πειρᾶται. νῦν
ταῦτ᾽ ἔγχει. πειρήσομαι. νῦν μὲν δὴ μενέλαος ἐνίκη
σε σὺν ἀθήνῃ. καὶ δηλοῦν μὲν τὸ τοῦ χρόνου ἐνεστη

κός, ἐνεστῶτι συντάσσεται μόνῳ, καὶ ἀρκτικὸν γί=
νεται λόγου. ἀκολουθίαν δέ τινα σῶζον προηγου
μένου, οὐκ αὐτάρκτικόν ἐστι λόγου, καὶ ἀεὶ τῷ δὲ συν
δέσμῳ συνάπτεται. οἷον, ἐγὼ μὲν ᾤμην ταῦτ᾽ ἐκεῖ=
νον ἐρεῖν. νῦν δὲ οὐθὲν τούτων εἴρηκεν. ἀντιπαρά
κειται δὲ τοῦ ἐνεστῶτος νῦν, τὸ αὐτίκα καὶ ἄρτι.
νῦν ποιῶ. ἄρτι πεποίηκα. αὐτίκα ποιήσω. ὁμοί=
ως δ᾽ ἔχει καὶ τὸ χθὲς καὶ αὔριον πρὸς τὸ σήμερον.
εἰρήσθω δέ τοι καὶ αὔριον ἔρχομαι. εἰ πρὸς θυμοῦ
τὸ μέλλον γίνεσθαι ἐπὶ πλέον πιστοῦσθαι. κοι
νὸν δὲ καὶ τὸ ὅτε καὶ τότε. πλὴν τοῦ παρακειμέ=
νου. τὸ δὲ πρώην καὶ πάλαι, ἴδια τοῦ παρῳχη
μένου. πάλαι ποτ᾽ ἦσαν. πρώην ἐλήλυθε. τὸ δὲ ἤ
δη κοινὸν μέλλοντος καὶ παρῆκοντος. ἤδη βεβάδι
κα, ἤδη βαδίσω. λέγεταί τε ἐπὶ τῶν μὴ πολὺ ἀφεσ
τηκότων. ὡς καὶ τὸ πρώην. καὶ τὸ πρὶν ἐν παρελη
λυθότι πρὸς ὁριστικόν. πρὶν εἶπεν. οὐ μὴν ἀλλὰ
καὶ σὺν ἀπαρεμφάτῳ. πρὶν εἰπεῖν, καὶ διὰ μέσου
τοῦ ἢ, πρὶν ἢ εἰπεῖν. ὥσπερ διὰ τοῦ ἂν ἐπὶ μέλλον=
τος πράγματος. πρὶν ἂν γένηται. πρὶν γένηται. ὁ
μοίως δὲ καὶ τὸ ἕως, καὶ τὰ ἰσοδυναμοῦντα. ἕως
παρατείνω. καὶ ἕως παρατεῖναι. τὸ δὲ ὅτε ἀδια=
φόρως τοῖς χρόνοις πρὸς ὁριστικόν. εἰ μὴ δυνητι=
κόν τι ἐπινοοῖτο. εὐκτικοῦ γὰρ τὸ δυνητικόν. ὅτε
βούλοιτο. καὶ τὸ οὐκέτι, καὶ τὸ οὐδέποτε, καὶ τὸ
ἀεί. τὸ δὲ οὐδεπώποτε. μόνον ἐπὶ παρῳχημέ
νου. ὥσπερ τοὐναντίον τὸ εἰσαεὶ καὶ αὖθις ἐπὶ
μέλλοντος. εἰσαεὶ ἔσται κίνησις. αὖθις διδάξω.
τὸ δὲ οὔπω παρῳχημένου τε καὶ ἐνεστῶτος. οὔ
πω γίνεται. οὔπω γέγονεν. ἔστι δ᾽ ὡς ἁπλῶς εἰ
πεῖν καὶ πρὸς γενικὴν ἀποδίδομαι τὰ χρονικὰ κτη



VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

τικῶς πως. οἷον ποτὲ τοῦ χρόνου. οὐδέποτε τῶν
χρόνων. τό γε μὴν χωρὶς γενικῆς, πολὺ ἐν τῷ λό-
γῳ. ἔστι δὲ καὶ τῶν χρονικῶν, τὰ μέν, ἀναφορικά.
τὰ δέ, ἀπολελυμένα. ὥστε καὶ προηγεῖται ἀλλή-
λων. τότε, ὅτε. τηνικαῦτα, ἡνίκα. τέως, ἕως. ἐπιτα-
τικά. τὰ δὲ ἐπιτατικά, τοῖς τε ἐπιθέτοις τῶν ὀνο-
μάτων συντάσσεται πᾶσιν, ὑπερθετικῶν χρείαν
ἀναπληροῦντα. οἷον, λίαν σοφός. πάνυ τίμιος, καὶ
ἀναφορικῶς. ὁ λίαν σοφός, μεσοσυλλαβοῦντα.
τῶν τε τῆς μεσότητος κατηγορεῖται ἐπιρρημάτων.
οἷον. γράφει πάνυ καλῶς. καὶ τρέχει λίαν ταχέως.
καὶ χωρὶς δὲ ἐπιλέγεται. λίαν πονεῖ. σφόδρα ἐπι
θυμεῖ. αὐτῇ δὲ τῇ μεσότητι καὶ τῶν τούτοις ἰσο-
δυνάμων καθόλου μὲν τὸ ῥηματικόν. ζῇ σωφρό-
νως. ἀξίως γε εὐτυχεῖ. καὶ κατὰ μέρος δέ τοι ὡς ἕκα
στον ἔχει παραγωγῆς, οὕτω δὴ καὶ συντάξεταί γε
τῷ πτωτικῷ. τῇ γὰρ ἀρχῇ συνῳδὸν εἶναι χρεών.
ἀξίως οὖν λόγου, ὅτι ἄξιος λόγου. καὶ ὁμοίως
τοῖς ἄλλοις, ὅτι ὅμοιος τοῖς ἄλλοις. καὶ καταφρονι
τικῶς τῶν εὐτελεστέρων, ὅτι καταφρονῶ τῶν εὐ-
τελεστέρων. οἷον δὴ καὶ τὸ ἄριστα πάντων. κοινὸν
δὲ τῶν τοιούτων καὶ ἡ προσκειμένη τῷ ἔχω γενι-
κή. οὕτως ἔχει γνώμης. πονήρως ἔχω τοῦ σώμα-
τος. τοπικά. τὰ δὲ τοπικά, γενικῇ. ἔξω τῆς χώρας.
ἐνταῦθα τοῦ λόγου. ποῦ γῆς. ἄλλῃ πῃ τῆς οἰκί-
ας. καὶ χωρίς. ἐνταῦθά ἐστιν. σαφέστερον μέντοι καὶ
εὐχρηστότερον ἐπ' ἐνίων τὸ φράζειν προθετοπτώ
τως. οἴκοι ἐν ἀττικῇ. οἴκαδε εἰς τοῦ πολεμάρχου.
πάντα δὲ τὸ προσῆκον σφῖσιν ἠρεμίας τε καὶ κινή
σεως ἕξει προσκείμενον. οἷον, οἴκοι εἰμί. πορεύο-
μαι οἴκαδε. παραθετικά. καὶ τὰ συγκριτικὰ δὲ καὶ ὑ

περθετικὰ ὁμοίως εἰς γενικήν. μᾶλλον τῶν ἄλλων
φιλοσοφεῖ. καὶ μάλιστα πάντων. τὰ δὲ συγκριτικὰ
καὶ πρὸς εὐθεῖαν μεσοσυλλαβοῦντος τοῦ ἤ. μᾶλ
λον ἢ ἄλλοι. ἔτι τὰ ἐπικρυπτικά. κρύφα ἢ λάθρα
τῶν ἄλλων ποιεῖ. καὶ τὰ διαιρετικά. χωρὶς τῶν
ἄλλων. καὶ τὰ ποσότητος. ἅπαξ ἢ δὶς τῆς ἡμέρας.
τρὶς τοῦ μηνός. τετράκις καὶ πολλάκις τοῦ ἐνιαυ-
τοῦ. καὶ τὰ τακτικά. τὰ δύο ἐφεξῆς τοῦ ἑνός. καὶ
ἡ δευτέρα τῆς νουμηνίας. τὰ δὲ ἀθροιστικά, δοτι
κῇ. ὁμοῦ καὶ ἅμα τοῖς ἄλλοις. καὶ χωρίς. τὰ δὲ ὀ-
μοτικά, αἰτιατικῇ μόνως. μὴ δία οὐκ εἶπον. μὰ δί-
οὐκ εἶπον. τὰ δ' ἐρωτιματικά καὶ ἀοριστούμενα
καὶ ἢ τοπικὰ γινόμενα ἢ τροπικὰ ἐγκλίνεται. εἰ μὴ
τρισυλλαβία κωλύη. οὐθὲν γὰρ ἐγκλίνεται ὑπὲρ
δισύλλαβον ὄν. πόθεν ἔρχῃ. ἐλθὼν δέ ποθεν. πῶς
ἔχει; οὕτω πως ἔχει. ἔξεστι δὲ καὶ τὸ πότε καὶ ποῦ
ἐπ' ἐρωτήσει τῷ ἕως καὶ μέχρι καὶ ἄχρι ὑποτάσσειν.
οἷον, ἕως πότε. ἄχρι που. μέχρι που. τὰ δὲ βεβαιω
τικά, ὁριστικοῖς. λέγει ὅτι ἥξει. οὕτω δὴ κρίνει. τὸ
γε μὴν ὅτι καὶ πρὸς εὐκτικόν. εἰ περὶ παρῳχημένου
τουτέστι διηγηματικῶς. οἷον. ἠγγέλλετο ὅτι γένοι
το. καὶ εἴη. καὶ ἔσοιτο. ὅθεν δῆλον, καὶ ὡς διχῶς τὸ
διηγηματικόν. ἢ γὰρ ἐντονωτέρως. ὡς τὸ ἀπαρέμ
φατον. λέγεται γενέσθαι τί. ἢ ὑπτιωτέρως. ὡς τό,
τε ὁριστικὸν καὶ εὐκτικόν, ὡς εἴρηται. ὅλως δεῖ-
πεῖν τὸ παρεληλυθὸς φιλευτικόν τι ἔοικεν ὄν. ἀπα
γορευτικά. ὁπότε καὶ τὸ ἀπαγορευτικὸν ἀπὸ μὲν
ἐνεστῶτος πρὸς ὑποτακτικόν. δέδοικα μὴ ᾖ. ἀ-
πὸ δὲ παρῳχημένου πρὸς εὐκτικόν. ἐδεδοίκειν
μὴ εἴη. καὶ τὸ ἐπεὶ καὶ ἐπειδὴ χρονικόν, οὐ μόνον
πρὸς ὁριστικόν, ἀλλὰ καὶ πρὸς εὐκτικόν. ἐπειδὴ
γένοιτο. τὰ δ' εὐκτικά, εὐκτικῷ καὶ ὁριστικῷ.

VNIVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

ὡς εἴρηται. Τὰ δὲ παρακελευστικά, τοῖς δευτέροις τῶν προστακτικῶν, καὶ προσέτι τοῖς ἀνυποτάκτοις. ἄγε λέγωμεν. φέρε εἰπέ. τοῖς τρίτοις δὲ τὸ ἀπαγορευτικόν. μὴ λεγέτω. μὴ τυψάσθω. οἰκεῖον δ᾽ ὡς εἴρηται καὶ ταῖς ἄλλαις ἐγκλίσεσι. μὴ γνῷς. μὴ γνώσῃς. μὴ γνῶναι. πλὴν τῇ ὁριστικῇ. ταύτης δὲ τὸ ἀποφαντικὸν ἴδιον. οὐ λέγω. ναὶ λέγω. τὸ δὲ μὴ δι᾽ ἐμὴν ἰότητα, ἀντὶ τοῦ οὔ. ὁμοίως δὲ καὶ τὰ εἰκαστικά. ἴσως ἐρῶ. εἰ δ᾽ εὐκτικῷ, οὐκ ἂν εἴη χωρὶς συνδέσμου. ἴσως φαίην ἄν. κοινὸν δὲ τοῦτο τῶν ῥηματικῶς συντασσομένων ἁπάντων. οἷον, εὖ ἂν ἔχοι. πόρρω ἂν εἴη. μὴ δ᾽ εἴποιμ᾽ ἄν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. καὶ τὰ παραβολικὰ δέ, ὁριστικοῖς. ὡς εἶπον, οὕτως ἔγραψα. καὶ τὰ δεικτικά, ῥηματικῶς. ἰδοὺ ἧκεν εἰς τέλος. ἰδοὺ ὁ ἀμνός. ἐλλειπτικῶς τοῦ ὑπαρκτικοῦ. καὶ τὰ ἀνετικά. ἠρέμα λέγειν. μόγις δύναται. τὸ δὲ ἀποστατικόν, ἀπαρεμφάτῳ. ὥστε λέγειν. καὶ εὐκτικῷ. ὥστε λέγοι ἄν, καὶ ἔτι ὁριστικῷ. ὥστε λέγει. ἐπιτατικόν τε οὐ μόνον ἐπιρρήματος, ἀλλὰ καὶ ὀνόματός τοι ὁμοιωματικοῦ ἢ παρισωτικοῦ. οἷον, τοιοῦτός ἐστιν, ὥστε καὶ νοεῖν καὶ λέγειν τὰ δέοντα. τηλικοῦτος, ὥστε ἅπαντας ὑπερβάλλειν. καὶ οὕτως, ὥστε πάντας θαυμάζειν. τὸ δ᾽ ἀποθετικὸν εἶεν, λόγου μακροτέρου πέρας, καί τις ἀρχὴ ἔσται τῶν ἑπομένων. εἶεν, τί δ᾽ ὦ παῖς ὁ τοῦ λαερτίου.

## περὶ συνδέσμου.

Ὁ δὲ σύνδεσμος λέξις συνδετικὴ οὖσα τῶν ἑτέρων τοῦ λόγου μερῶν εἰς κατάλληλον σύνθεσίν τε καὶ τάξιν τὰ ὅμοια συνάπτει ἀεί. ὄνομα γὰρ ὀνόματι. καὶ ῥῆμα ῥήματι. καὶ εὐθεῖαν εὐθείᾳ. καὶ ὅλως πτῶσιν ὁμοίᾳ πτώσει. καὶ χρόνον ὁμοίως καὶ ἔγκλισιν. καὶ τὰ λοιπὰ δὲ ὁμοίως. σύνταξιν δὲ διαφόρως κατὰ τὴν αὐτοῦ διαφορὰν τῶν εἰδῶν ἔχει.

συμπλεκτικός. Τῶν οὖν ἐπὶ πολὺ ἐκφερομένην τὴν ἑρμηνείαν συμπλεκόντων, καὶ διὰ τοῦτο συμπλεκτικῶν καλουμένων, ὁ μὲν καί, προτάσσεται τῶν λέξεων. ὁ δὲ τέ. ἐπιφέρεται ἐγκλινόμενος. θεοί τε καὶ ἄνδρες. καὶ οὕτω τοι ἀλλήλοις συντάσσονται. ὥστε τὸν τὲ προηγεῖσθαι τοῦ καί. ἀρκτικὸς δὲ ὑπάρχων ὁ καί. δεῖ πάντως καὶ ἕτερον καὶ ἐπιφέρεσθαι, ἤτοι ῥῆμα συμπλέκοντα ῥήματι, ἢ ὄνομα ὀνόματι, ὅπως ἔτυχε συντασσόμενος ὁ πρῶτος. εἰ γάρ τις λέγοι. καὶ περιπατεῖ σωκράτης, ἐπιφέροι ἂν ἐξ ἀνάγκης, καὶ διαλέγεται, ἤτοι οὕτω τι. εἰ δὲ καὶ σωκράτης γράφει λέγοι, ἐποίσει δήπου καὶ πλάτων. ἢ ἄλλος τις. καθόλου γάρτοι ἡγούμενος ὁ συμπλεκτικὸς ἢ ὁ διαζευκτικός, ὅμοιον ἀπαιτεῖ μέρος, ἤτοι πτωτικὸν ἢ ἄπτωτον. καὶ εἰ μὲν πτωτικόν, τὴν αὐτὴν πτῶσιν. εἰ δὲ ἄπτωτον, τὴν αὐτὴν ἔγκλισιν. ἀλλ᾽ οὐκ ἐξ ἀνάγκης. οἷον, καὶ γράφω καὶ νοῶ. ἢ γράφω ἢ νοῶ. καὶ ὁ ἐμὸς δοῦλος καὶ σός. καὶ ἔξεστι ἐπὶ τῆς αὐτῆς συντάξεως συνάπτειν ἀρθρικὰς εὐθείας ταῖς γενικαῖς. οἷον, ἄριστα τὰ ὁμηρικὰ ἔπη καὶ τὰ ἡσιόδου. Διαφερούσης δὲ τῆς ἐγκλίσεως, τὸ αὐτὸ ῥῆμα φυλάττεσθαί γε ἀνάγκη. οἷον, καὶ γράφω καὶ γράφοιμι. καὶ ἔλεγες καὶ λέγε. Τῆς αὐτῆς δὲ οὔσης, διάφορα κεῖται τὰ ῥήματα. καὶ περιπατῶ καὶ διαλέγομαι. καὶ πτώσεις δὲ τὰς αὐτὰς ἀπαιτοῦσιν οἵτε συμπλεκτικοὶ καὶ διαζευκτικοί. ἡγούμενοί τε καὶ μεταξὺ τιθέμενοι, ἐπὰν πρὸς τὸ αὐτὸ ἀναφέρων-

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

ται ῥῆμα, οἷον, καὶ ἐγὼ καὶ σὺ γράφομεν. ἢ ἐμοῦ ἢ σοῦ φείδεται. ὁ δὲ μέν, λέξεως μέν, οὐδαμοῦ ἀρκτικός, λόγου δέ. ὁ δέ τοι δὲ ἐπιτακτικὸς ὤν, καὶ λόγου καὶ λέξεως ἐπακολουθητικός ἐστι τοῦ μέν, ἄλλοι μὲν ῥα θεοὶ εὗδον παννύχιοι, δία δ' οὐκ ἔχε νήδυμος ὕπνος. τυγχάνει δ' ὁ αὐτὸς καὶ μεταβατικὸς ὤν, ὡς δι' αὐτοῦ γινομένων τῶν περὶ τὸ νόημα καὶ διήγημα μεταβάσεων. ὁ δ' ἀτὰρ καὶ αὐτάρ, ἀρκτικοί. καίτοι τῷ δὲ ἰσοδυναμοῦντες. αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο. ἀτὰρ οὔ τι μοι ἐθάδε τοῖον. ὁ δ' ἀλλά, ἐστὶν ἐπιτακτικός. τυδεὺς μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής. ὥστ' εἴη ἂν καὶ τοῦ μὲν ἐπακολουθητικὸς δὴ καὶ ὄντος. ὁ δὲ ἢ μὲν καὶ ἢ δέ, ἀρκτικοί. ἀλλ' ὁ μὲν ἢ μὲν λόγου καὶ λέξεως. ὁ δὲ ἢ δέ, λέξεως μόνης, τῷ ἢ μὲν ἐπακολουθῶν. ἢ μὲν ὅσοι ναίουσιν οὐρανόν. ἢ δὲ ὅσοι κληρώσαντο χθόνα. ποιητικοὶ δέ γε οὗτοι. οἷος δὴ καὶ ὁ ἤτοι ἀρκτικὸς λόγου καὶ αὐτὸς ὤν. ἤτοι ὅ γ' ὣς εἰπών, κατ' ἄρ' ἕζετο. διαζευκτικός. οἱ δὲ διαζευκτικοί, τὰ διαζευγμένα συντιθέασιν. καὶ ἢ πρᾶγμα ἀπὸ πράγματος, ἢ πρόσωπον ἀπὸ προσώπου διαζευγνῦντες, τὴν φράσιν ἐπισυνδοῦσιν. νῦν ἄρκιον ἢ ἀπολέσθαι ἠὲ σωθῆναι. εἷς δέ τις ἀνὴρ βουληφόρος ἔστω. ἢ αἴας ἢ ἰδομενεὺς ἢ δῖος ὀδυσσεύς. ὁ γοῦν ἤτοι ἰσοδυναμῶν τῷ ἤ, προτακτικός ἐστι τοῦ ἤ. ἤτοι ἀγαθὸν ἢ φαῦλον. ἰσοδυναμῶν δὲ τῷ μέν, ἀρκτικὸς γίνεται λόγων τοῖς ποιηταῖς ὡς εἴρηται. ἤτοι ὅ γε ὣς εἰπών. διαζευγνύων μὲν τοίνυν ὁ ἢ ἀορίστως, οὐκ ἄνευ ἑτέρου ἢ λέγεται. ἤτοι προσκειμένου ἢ νοουμένου. ὡρισμένως δέ, εἴτ' οὖν διασαφητικῶς μόνος κεῖ-

ται, βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι. σημαίνει γὰρ τὸ καὶ οὐκ ἀπολέσθαι. ὅθεν ἴσως καὶ ἀναιρετικὸς ἂν οἰκείως προσαγορεύοιτο. μοναδικῶς δὲ συντάσσεται καὶ ἀπορρηματικὸς ὢν ἢ λυτικός τις ἀπορρηματικῶς. τί δὲ λαὸν ἤγαγεν ἐνθάδε, ἢ οὐχ ἑλένης ἕνεκ' ἠϋκόμοιο. τί δή ποτε ὁ πορνοβοσκὸς τραπεζούντιος ἀγνοεῖ τὸ τοῦ ἢ σημαινόμενον, ἢ ὅτι οὐδὲ πώποτε ἔμαθεν. τὸ δὲ ἢ μάλα δὴ τέθνηκε μενοιτίου ἄλκιμος υἱός, καὶ τὰ ὅμοια, ἐπιρρηματικὴν σύνταξιν ἔχει τῶν βεβαιωτικῶν. οἷον δὴ καὶ τὸ ἢ θέμις, τῶν ὁμοιωματικῶν. συναπτικός. οἱ δὲ συναπτικοί, τουτέστιν οἱ ὕπαρξιν μὲν οὔ, ἀκολουθίαν δέ τινα καὶ τάξιν δηλοῦντες, συνάπτουσι μὲν ἀτελεῖς ἐννοίας. συντάσσονται δὲ κατά τε ὀρθὸν καὶ ἀντεστραμμένον. ἢ γὰρ προηγοῦνται ἢ ἐπάγονται. καὶ προηγουμένοις μὲν τὸ ὀρθόν. εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ, ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ. ἐπιφερομένοις δὲ τὸ ἀντεστραμμένον. ἦ κεν γηθήσαι πρίαμος πριάμοιό τε παῖδες ἄλλοι τε τρῶες, εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοισι. καὶ πρὸς ὑποτακτικὸν μὲν οὖν τὸν εἰ συντακτέον. ἄλλως τε καὶ εἰ σὺν τῷ καὶ λαμβάνοιτο, καὶ ὅλως μεθ' ἑτέρων συνδέσμων. καὶ πρὸς εὐκτικὸν καὶ πρὸς ὁριστικόν, ὡς ἔτυχεν ὁμολογίας ἢ ἀμφιλογίας ἡ ἀκολούθησις. ἔοικε γὰρ ἐπὶ μὲν ὁμολογουμένων, τὸ ὁριστικόν τε καὶ ὑποτακτικὸν βούλεσθαι. ἐπὶ δὲ ἐνδοιαζομένων, τὸ εὐκτικόν. ὅθεν δὴ καὶ τὸν δυνητικὸν ἂν ἐπὶ τὸ τοιοῦτο οἰκειοτέρως ἂν ἀποδοίημεν. οἷον, εἰ ἦδο-

VNIVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

μὴ τἀγαθὸν εἴη, ταύτῃ ἂν ὁρίζοιτο ἡ εὐδαιμονία.
ἀλλ᾽ οὐκ ἀεὶ οὕτως ἡ χρῆσις. κατὰ παρῳχημένου
γε μὴν πράγματος τὸ ὁριστικὸν ἀεί. εἰ ἦν. εἰ καὶ ἦν.
παρασυναπτικός. Παραπλησίως δέ τοι καὶ
οἱ παρασυναπτικοὶ συντάσσονται. πλὴν ὅτι καὶ
ὕπαρξιν μετὰ τάξεως σημαίνουσιν οὗτοί γε. αἰ-
τιολογικός. Οἱ δ᾽ αἰτιολογικοί, προτακτικοί τέ
εἰσι τῶν λέξεων, πλὴν τοῦ γάρ, καὶ κατ᾽ ὀρθὸν καὶ
ἀντεστραμμένον συντάσσονται. καὶ τὰ ὑποτακτι-
κὰ τῶν ῥημάτων ποιοῦσιν ἔνιοι τούτων. ἐὰν μάθω
ἵνα διδάξω. καὶ ἐπιρρηματικῶς. ἐπειδὰν διδάξω.
ἢ ὅταν διδάξω. Ὅ γε μὴν ἵνα καὶ τὰ ἰσοδυνα-
μοῦντα, καὶ πρὸς εὐκτικὸν ἔτι συντάσσονται, εἰ πε-
ρὶ παρῳχημένου ὁ λόγος. οἷον, ἀφίκετο, ἵνα θεῷ-
το. καὶ πρὸς ὁριστικὸν παρατατικόν, ἔνθα τι περὶ
παρῳχημένου ἀξιοῦμεν ὑπάρχειν ἢ μή. οἷον, ἐ-
χρῆν αὐτὸν λαβεῖν συγγραφήν, ἵν᾽ εἶχεν ἀπαιτεῖν
κατὰ νόμους. Τό γε μὴν ὅπως ἀντὶ τοῦ πῶς
παραγγελματικῶς πρὸς ὁριστικὸν μέλλοντα.
σκοπεῖτε δὲ τοῦτο ὅπως μὴ λόγους ἐροῦσιν. ἄλ-
λως δὲ παντὶ ἐφαρμόττει χρόνῳ. Πρὸς ὁριστι-
κὸν δὲ τὸ ὅτι, καὶ τὰ ἰσοδυναμοῦντα. ὅτι οὐδεὶς
μισθός, οὐδὲ τέχνη. Τὸ δὲ ἐφ᾽ ᾧ, πρός τε ὁριστικὸν
καὶ πρὸς ἀπαρέμφατον. ἐφ᾽ ᾧ ἔγραψεν. ἐφ᾽ ᾧ κομι-
οῦται. ἐφ᾽ ᾧ μεμνῆσθαι. Τὸ δὲ ἕνεκα, γενικῆς. Τὸ δὲ
οὕνεκα τὸν Χρύσην ἠτίμησ᾽ ἀρητῆρα, ἰωνικόν. Ὁ
δὲ γάρ, παντὶ μέρει λόγου ὑποτάσσεται, καὶ ἀρ-
κτικὸς οὐδαμοῦ ἐστιν. ἡ γάρ. οὐδὲ γάρ. οὐ δὲ δρύ-
αντος υἱός. ἐναντιωματικοί. Οἱ δὲ λεγόμενοι ἐ-
ναντιωματικοί, καὶ προτάσσονται τῶν λέξεων καὶ
ὑποτάσσονται. λόγου μέντοι προτάσσεσθαι οὐ-

δαμοῦ πεφύκασιν. ἔκαμον παραινῶν, ἀλλ᾽ ὅμως
παραινέσομαι ἔτι. καίτοι σπεύδων, ὅμως οὐκ ἔσ-
χον καταλαβεῖν. συλλογιστικοί. Τῶν δὲ
συλλογιστικῶν, οἷον τῶν ἐπιφοραῖς τε καὶ συμ-
περάσμασι προσῳκοιωμένων, ὁ ἀλλὰ ἢ ἀλλὰ
μήν, προτακτικός ἐστι λέξεως μόνως. Οἱ δ᾽ ἄλ-
λοι πάντες καὶ προτάσσεσθαι καὶ ὑποτάσσε-
σθαι δύνανται. πᾶς ἄνθρωπος ζῷον, ἀλλὰ μὴν
πᾶν ζῷον οὐσία. πᾶς ἄρα ἄνθρωπος οὐσία.
ἀπορρηματικοί. Οἱ δ᾽ ἀπορρηματικοί, ἐπ᾽ ἀπο-
ροῦντι καὶ ἐρωτῶντι εἰς χρῆσιν ἥκουσιν. ἆρ᾽ οὖν ἀ-
γαθὸν τὸ ἡδύ; προηγοῦνται δὲ τῶν λόγων, εἰ μή
τί γε καθ᾽ ὑπερβατόν. παραπληρωματικοί.
Οἱ δὲ παραπληρωματικοί, τὸ μὲν ὄνομα ἔσχον ἀ-
πὸ τοῦ τὴν φράσιν παραπληροῦν, ἢ μέτρου ἢ κό-
σμου χάριν. ἔχουσι δὲ καὶ σημασίαν διάφορον. οἷ-
ον ὁ γέ, μειωτικός. ὁ δή, περιγραφικὸς καὶ μεταβα-
τικὸς καὶ βεβαιωτικός. ὁ ἄν, δυνητικὸς καὶ ἀοριστι-
κός. πάντες γε μὴν τοῖς ἑτέροις τοῦ λόγου μέρε-
σιν ὑποτάσσονται. οἷον, ἄλλοι μὲν ῥὰ θεοί. ὁ δὲ ἄν,
καὶ ὑποτάσσει ἀοριστολογικὸς ὤν. ὅσα ἂν λέγῃς,
ὅσα ἂν εἴπῃς. δυνητικὸς δέ. κατὰ μὲν ἐνεστῶτος καὶ
μέλλοντος, πρὸς εὐκτικόν. οὐκ ἂν λέγοις. οὐκ ἂν
φαίης. οὐκ ἂν λέξοις. εἴτε προστάσσοιτο, εἴτε ἐπιτάσ-
σοιτο. καὶ πρὸς ὁριστικόν, οὐκ ἂν ἐρεῖς. ἀλλὰ σπα-
νίως τοῦτό γε. κατὰ δὲ παρῳχηκότος πρὸς ὁριστικόν.
οὐκ ἂν εἶπες. ἢ ἔλεγες. ἔτι δὲ γνωριμώτερον ἂν μὲν
καὶ πρὸ τοῦ ῥήματος καὶ μετὰ τὸ ῥῆμα δύνηται ὁ
ἂν θεωρεῖσθαι ἀδιαφόρως πρὸς εὐκτικόν. ἂν δὲ
μὴ ἐπαμφοτερίζῃ τοῖς τόποις, πρὸς ὑποτακτικὸν
μόνον. Καὶ μεταλαμβάνοντες τὸ ἀπαρέμφα-

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

τὸν πρὸς τὴν τοῦ ὁριστικοῦ κατάλληλον σύνταξιν, λέγομεν δυνητικῶς κατὰ τὰς τρεῖς τοῦ χρόνου διαφοράς. λέγειν ἄν. εἰπεῖν ἄν. καὶ ἐρεῖν ἄν. καὶ πρὸς μετοχήν. εἰπόντας ἄν, καὶ ἐροῦντας. καὶ εἰπὼν ἄν, καὶ εἰπόντων. ὁμοίως ἂν δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἥκιστα δὲ ὁ παρακείμενος τοῦ ἂν ἐπιδεκτικός. τὰ μὲν δὴ μέρη οὕτω συντάσσοντες, κατάλληλον ἂν ποιοῖμεν τὸν λόγον.

περὶ τοῦ ἀπαγγέλλειν διαστολῆς.

Ἀπαγγέλλειν δὲ τὰ συντεταγμένα μὴ μόνον καθ᾽ ὑπόκρισίν τε καὶ προσῳδίαν, ἀλλὰ καὶ κατὰ διαστολήν. οὕτω γὰρ ἂν ἡ τοῦ λόγου διάνοια εἴη συμφανεστέρα. καὶ γράφοντας οὖν τι στικτέον εἰς διαστολήν. καὶ φθεγγομένους διακριτέον τριχῶς. ἢ γὰρ τελείως. ἢ ἀτελῶς. ἢ μέσως. ἔνθα μὲν γὰρ τὰ περὶ τὴν ἔννοιαν συναποτελούμενα λήγει τοῖς κώλοις, διασταλτέον ἐπὶ τέλει ἐννοίας τὸν λόγον καὶ πλέον τι χρόνον ἀποστηματιστέον εἰς ἀπόδοσιν τοῦ τελείου. ἔνθα δὲ ἀτελῶς πάμπαν ἔχει. ὑπομένοντας τι τῆς φωνῆς καὶ ἐπ᾽ ἐλάχιστον διαστηματίζοντάς τε ἀπαγγελτέον. μέσως δέ τοι, τὰ κώλων τε καὶ τοῦ ἐντελοῦς ἀπαρκτικὰ κόμματα ἀποδοτέον. δίον, ἐγὼ μὲν διδάσκω, σὺ δὲ μανθάνεις. καὶ στίζειν δὲ γράφοντας κατὰ τὰς εἰρημένας διαφοράς, τὸ μὲν τέλειον ἐφεξῆς ἐν τῷ μέσῳ. τὸ δ᾽ ἀτελὲς παρεκκλίνοντας πρὸς τὸ κάτω. τὸ δὲ μέσον παρεκκλίνοντας πρὸς τὸ ἄνω. καὶ περὶ μὲν κλίσεως καὶ σχηματισμοῦ καὶ διαιρέσεως καὶ ὀνομασίας καὶ προσῳδίας καὶ ὀρθογραφίας καὶ χρόνου καὶ συντάξεως τῶν γραμματικῶν, καὶ ὅλως περὶ βαρβαρισμοῦ καὶ σολοικισμοῦ. ἔστω δὴ εἰρημένον ἀποχρώντως. ὡς ἐν εἰσαγωγῇ. τὸ γὰρ ἐπὶ πλέον καὶ ἀκριβέστερον περὶ τούτων εἰπεῖν. ἥκιστ᾽ ἂν τῆς παρούσης εἴη προθέσεως. μετὰ ταῦτα δὲ ὅπως δὴ ἐρωτηματίζειν κατὰ τὴν ἐκτεθεῖσαν τήνδε ἡμῖν μέθοδον, λέγωμεν.

Περὶ ἀνωμάλων ῥημάτων κατὰ στοιχεῖον.

ἀρχὴ τοῦ α.

Ἄγαμαι. μέλ. ἀγάσομαι. ἀό. ά. ἠγάσθην. μέσος ἀό. ἠγασάμην. ἄγω. μ. ἄξω. ἀό. β. ἤγον. καὶ ἀττικῶς ἤγαγον κατὰ ἀναδιπλασιασμόν. παρακεί. ἦχα. καὶ ἀττικῶς ἀγήοχα. ἄγνυμι. μ. ἄξω. μέσος παρακεί. ἀττικῶς ἔαγα. ἐξ οὗ τὸ κατέαγα. ἀό. ά. ἔαξα. ὅθεν τὸ κατέαξα. αἱροῦμαι. μ. αἱρήσομαι. παρακεί. ἥρημαι. ἀό. ά. ἡρέθην. μέσος. ἀό. β. εἱλόμην. ἀπὸ τοῦ ἕλω ἀχρήστου. ὅθεν καὶ τὸ εἷλον. αἰσθάνομαι. μ. αἰσθήσομαι. παρατα. ᾐσθόμην. μέσος β΄ ἀό. ᾐσθόμην. ἀπὸ τοῦ αἰσθέομαι ἀχρήστου. ἀλέξω. μ. ἀλεξήσω. ἀπὸ τοῦ ἀλεξέω ἀχρήστου. ἁμαρτάνω. παρατα. ἡμάρτανον. μ. ἁμαρτήσομαι. παρακεί. ἡμάρτηκα. ἀό. β΄ ἥμαρτον. ἀπὸ τοῦ ἁμορτέω, ῶ ἀχρήστου. ἀνοίγω. μ. ἀνοίξω. ἀό. ἀνέωξα ἀττικῶς. μέσος παρακεί. ἀνέωγα. ὁ παθητικὸς παρακεί. ἀνέῳγμαι. ὁ ἀό. ά. ἀνεῴχθην. ἀπεχθάνομαι μ. ἀπεχθήσομαι. παρακεί. ἀπήχθημαι. μέσος β΄ ἀό. ἀπηχθόμην. ἀπὸ τοῦ ἀπεχθέομαι ἀχρήστου. αὐξάνω καὶ αὔξω. μ. αὐξήσω. ὡς ἀπὸ τοῦ παλαιοῦ θέματος αὐξέω, ῶ. ἀό. ά ηὔξησα. ἁλίσκομαι. μ. ἁλώσομαι. ὁ β΄ ἀό. ἥλων καὶ ἑάλων ἀττικῶς. παρὰ τὸ ἁλόω, ῶ ἁλῶ. ὅθεν ἡ μετοχὴ ὁ ἁλούς, τοῦ ἁλόντος. ἀμφιέννυμι. μ. ἀμφιέσω. ὁ παθητικὸς παρακεί. ἠμφίεσμαι. ἀναγινώσκω. παρατα. ἀνεγί-



VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

νώσκον. μ. ἀναγνώσομαι. παρακεί. ἀνέγνωκα. ἀό. β' ἀνέγνων. ἀπὸ τοῦ ἀναγνόω, ῶ. ἀναγνῶμι ἀχρήστου. ἀναῤῥηγνύω καὶ ἀναῤῥήγνυμι. μ. ἀναῤῥήξω. ἀπὸ τοῦ ἀναῤῥήσω. ἀποχρῇ. ἀπρόσωπον. μ. ἀποχρήσει. ἀό. ἀπέχρησε. ἀπὸ ἀποχρέει παλαιοῦ.

ἀποδιδράσκω. μ. ἀποδράσω. ἀό. ά ἀπέδρα. τὸ πρῶτον τῶν πληθυντικῶν ἀπέδραμεν. ἀριστοφάνης. δεῦρο δ' ἂν οὐκ ἂν ἀπέδραμεν. τὸ τρίτον ἀπέδραν. σοφοκλῆς. ἀλλ' ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν. ἡ μετοχὴ ὁ ἀποδράς. ὅμηρος ὀδυσσείας. π. νῦν δ' ἂν θεσπρωτῶν ἀνδρῶν ἐκ διὸς ἀποδράς. ἀπὸ τοῦ ἀποδράω, ἀπόδρημι ἀχρήστου. ὁμοίως δὲ καὶ ὑποδιδράσκω. καὶ διαδιδράσκω. ἀναπεταννύω καὶ ἀναπετάννυμι. μ. ἀναπετάσω. ἀπὸ τοῦ ἀναπετάω, ῶ. ἀποδεικνύω καὶ ἀποδείκνυμι. μ. ἀποδείξω. ἀπὸ τοῦ ἀποδείκω. ἀπολέω, ῶ. μ. ἀπολέσω. παρακεί. ἀπώλεκα. καὶ ἀττικῶς ἀπολώλεκα. καὶ μέσος παρακεί. ἀπῶλα. καὶ ἀττικῶς ἀπόλωλα. μέσος β' ἀό. ἀπολώμην. ἀπὸ τοῦ ἀπόλλω ἀχρήστου. τὰ γὰρ ἐν χρήσει ἀπολλύω καὶ ἀπόλλυμι. ἀποσβεννύω καὶ ἀποσβέννυμι. μ. ἀποσβέσω. ἀό. β' ἀπέσβην. ἀποτέμνω. μ. ἀποτεμῶ. καὶ ἀποτμήσω. ἀό. β' ἀπέτεμον. ἀπαυράω, ῶ. ἀό. ἀπηῦρα. ἀποκλαίω. μ. ἀποκλαύσω. ἀπὸ τοῦ κλαύω παλαιοῦ. ἀναμιμνήσκω. μ. ἀναμνήσω. ἀό. ἐμνήσθην. ἀπὸ τοῦ ἀναμνάω παλαιοῦ. ἀρέσκω. μ. ἀρέσω. ἀπὸ τοῦ ἀρέω παλαιοῦ. ἀφίσταμαι. μ. ἀποστήσομαι. ἀό. β' ἀπέστην. μέσος ἀπεστάμην. ἀπὸ τοῦ ἀφιστάω ἀχρήστου. ἄχθομαι. μ. ἀχθέσομαι. ἀό. ά ἠχθέσθην. ἀπὸ τοῦ ἀχθέομαι ἀχρήστου.

ἀρχὴ τοῦ β.

βάλλω. μ. βαλῶ. ἀό. ἔβαλον. παρακεί. βέβληκα. ἀπὸ τοῦ βλῶ βλήσω. βλαστάνω. μ. βλαστήσω. ἀό. ἔβλαστον. ἀπὸ τοῦ βλαστέω, ῶ. βούλομαι. μ. βουλήσομαι. παρακεί. βεβούλημαι. ἐβεβουλήμην. ἐβουλήθην. ἀπὸ τοῦ βουλέομαι ἀχρήστου. βαίνω. μ. βήσομαι. ἀό. ά ἔβην. ἀπὸ τοῦ βάω βῆμι ἀχρήστου. βιόω. μ. βιώσω. ὁ β' ἀό. ἐβίων, ἐβίως. ἐβίω. ἡ μετοχὴ ὁ βιούς. παρὰ τὸ βιόω βιῶμι ἀχρήστου. βιβρώσκω. ὅθεν διαβιβρώσκω. μ. βρώσω. ἀπὸ τοῦ βρόω ἀχρήστου.

ἀρχὴ τοῦ γ.

γαμέω, ῶ. μ. γαμήσω. ἀό. ά ἔγημα. ἀπὸ τοῦ γήμω ἀχρήστου. γείνομαι. μ. γενοῦμαι. μέσος ἀό. ά ἐγεινάμην. γηθέω, ῶ. γηθήσω. ὁ μέσος παρακεί. γέγηθα. ἀπὸ τοῦ γήθω ἀχρήστου. γηράσκω καὶ γηράω, ῶ. ἄχρηστον. μ. γηράσω. γρηγορέω, ῶ. μ. γρηγορήσω. μέσος παρακεί. ἐγρήγορα. ὁ ὑπερ. ἐγρηγόρειν. γίνομαι καὶ γίγνομαι. μ. γενήσομαι. ἀπὸ τοῦ γενάομαι, ῶμαι. παρακεί. γεγένημαι. μέσος ἀό. ά ἐγενησάμην. μέσος ἀό. β' ἐγενόμην. μέσος παρακεί. γέγονα. ἀπὸ τοῦ γείνω ἀχρήστου. γινώσκω. ἐγίνωσκον. μ. γνώσομαι παρακεί. ἔγνωκα. ἀό. β' ἔγνων. ἀπὸ τοῦ γνόω, ῶ. γνῶμι. ἡ μετοχὴ ὁ γνούς, τοῦ γνόντος.

ἀρχὴ τοῦ δ.

δαίω. μ. δαήσω. ὁ παθητικὸς παρακεί. δέδασμαι καὶ δεδάημαι. ὁ β' ἀό. ἐδάην. ἀπὸ τοῦ δαέω ἀχρήστου. δάκνω. ἔδακνον. μ. δήξω. ἀό. β' ἔδακον. ἀπὸ τοῦ δήκω ἀχρήστου. δεῖ. ἀντὶ τοῦ πρέπει



VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

καὶ χρεία ἐστί. μ. δεήσει. ἀό. ἐδέησε. ὁ παρατα. ἔδει.
τὸ ἀπαρέμφατον δεῖν. Δείδω. τὸ φοβοῦμαι. ποι
ητικὸν ῥῆμα. μ. δείσω. παρακεί. δέδεικα. καὶ ἰωνι=
κῶς δέδια. ὁ μέσος δέδοικα. καίτοι ὤφειλε δέδοι
δα. ἀλλὰ διὰ τὴν ἐπαλληλίαν τοῦ τριπλοῦ δ,
τὸ ὕστατον ἐτράπη εἰς τὸ χαρακτηριστικὸν τοῦ
ἐνεργητικοῦ κ. ὑπερ. ἐδεδοίκειν. μέσος παρακεί. δέ
δια. μέσος ὑπερ. ἐδεδίειν. Δέομαι. μ. δεήσομαι.
παρακεί. δεδέημαι. ὁ ἀό. ά ἐδεήθην. ἀπὸ τοῦ δεέο=
μαι, δεοῦμαι. Διαζωννύω καὶ διαζώννυμι. μ. δια
ζώσω. ἀπὸ τοῦ διαζόω, ζῶ. Διαλαγχάνω. ἀό. β΄ διέ
λαχον. ἀπὸ τοῦ διαλήχω. Διδάσκω. ἐδίδασ
κον. μ. διδάξω. ἀπὸ τοῦ διδάχω. ἀό. ά ἐδίδαξα.
Διαφθείρω. μ. διαφθερῶ. μέσος παρακεί. διέφθο=
ρα. Δοκέω, ῶ. μ. δόξω. ἀπὸ τοῦ δόκω ἀχρήστου.
ὁ ἀό. ά ἔδοξα. τὸ δὲ δεδόκηκα. ἀπὸ τοῦ δοκέω, ῶ.
Δύνω καὶ δύω καὶ δῦμι. μ. δύσω. ἀό. β΄ ἔδυν.
ὅθεν τὸ κατέδυν καὶ ἀνέδυν.

ἀρχὴ τοῦ ε.

ἔδραμον. ἀπὸ τοῦ τρέχω. δραμοῦμαι. ἀό. β΄ ἔδρα
μον. ἀπὸ τοῦ δρέμω. ἐγκαλέω, ῶ. μ. ἐγκαλέσω.
παρακεί. ἐγκέκληκα. ἐγείρω. μ. ἐγερῶ. ὁ ἀό. ά ἤ=
γειρα. ἐγχέω. ὁ μ. ἐγχεύσω. ἀπὸ τοῦ ἐγχεύ=
ω. ὁ ἀό. ά ἐνέχεα καὶ ἐνέχευα. αἰολικῶς. εἴδω
ἄχρηστον. μ. εἴσομαι. καὶ εἰδήσω, ἀπὸ τοῦ εἰδέω
ἀχρήστου. μέσος παρακεί. οἶδα. ὑπερ. ᾔδειν. ὤφει
λε δὲ εἶναι εἴδειν. τρέπεται δὲ τὸ ε εἰς η, καὶ τὸ ι ὑπο
γράφεται. τὸ ἀπαρέμφατον εἰδέναι. ἡ μετοχὴ ὁ εἰ
δώς. εἶπα. ἀό. ά. ἀφ᾽ οὗ ἡ μετοχὴ ὁ εἴπας. καὶ εἶπον
ἀό. β΄. ἀπὸ τοῦ ἔπω ἀχρήστου. ἔδω. τὸ ἐσθίω. ὁ
παρακεί. ἐδήδοκα. εἰσπλέω, μ. εἰσπλεύσω.

ἀπὸ τοῦ πλεύω. ἔρχομαι. μ. ἐλεύσομαι. μέ=
σος παρακεί. ἤλυθα. καὶ ἀττικῶς ἐλήλυθα. ἀό. β΄ ἤ=
λυθον, καὶ ἦλθον. ἦλθες. ἦλθε. κατὰ σύγκοπην. ἀ=
πὸ τοῦ ἐλεύθω ἀχρήστου. ἔρομαι. μ. ἐρήσο=
μαι. ὁ β΄ ἀό. ἠρόμην. ἕζω. μ. ἕσω. ἀό. ά εἷσα. ἐκ
καίω καὶ ἐκκάω ἀττικῶς. μ. ἐκκαύσω. ὁ ἀό. ἔκηα. ἔμ
μορα μέσος παρακεί. ἀπὸ τοῦ μορέω, ῶ. μέμορα. καὶ
ἔμμορα. ἢ ἀπὸ τοῦ μείρω. μερῶ. μέμορα. καὶ ἔμμο
ρα. ἐμπίπτω. μ. ἐμπεσοῦμαι. παρακεί. ἐμπέ
πτωκα. ἀό. β΄ ἐνέπεσον. ἐμπίπρημι. μ. ἐμπρήσω.
ἔολπα, ἀπὸ τοῦ ἔλπω ἀχρήστου, μέσος πα=
ρακεί. παρὰ ποιηταῖς. ἔρω ἄχρηστον. μ. ἐρῶ.
παρακεί. εἴρηκα. ἀπὸ τοῦ ἐρέω ἀχρήστου. εὑ=
ρίσκω. μ. εὑρήσω. παρακεί. εὕρηκα. ὁ παθητικὸς πα
ρακεί. εὕρημαι. ὁ ἀό. εὑρέθην. ἀό. β΄ εὗρον. ἀπὸ τοῦ
εὑρέω, ῶ. ἀχρήστου. ἕω. τὸ πορεύομαι ἄχρη=
στον. ἀφ᾽ οὗ ὁ μέσος παρακεί. ἧα. ὁ ὑπερ. ᾔειν.
ἐν χρήσει. ὅθεν τὸ διεξῄειν. ἔρρω. ὁ μ. ἐρρήσω. ἀ
πὸ τοῦ ἐρρέω ἀχρήστου. ἔχω. μ. ἕξω. καὶ σχή
σω. παρακεί. ἔσχηκα. ἀό. β΄ ἔσχον. ἀπὸ τοῦ σχέω,
σχῶ. ἀχρήστου. τὸ προστακτικὸν σχές, καὶ ἐπίσ=
χες. τὸ εὐκτικὸν σχοίην. ἀφ᾽ οὗ τὸ κατέσχημαι. ὁ
ἀό. κατεσχέθην. τὸ δὲ ἕξω δασύνεται. ὅθεν τὸ ἀ=
φέξομαι.

ἀρχὴ τοῦ ζ.

ζεύγνυμι καὶ ζευγνύω. μ. ζεύξω. ἀπὸ τοῦ ζεύγω.
ζωννύω καὶ ζώννυμι. μ. ζώσω.

ἀρχὴ τοῦ θ.

θάπτω. μ. θάψω. ἀό. ά ἔθαψα. ἀό. β΄ ἐτάφην. θέ=
λω. μ. θελήσω. ἀό. ά ἐθέλησα. καὶ ἐθέλω ἐθελήσω.
ἀόρισ. β΄ ἠθέλησα. θνήσκω. ἔθνυσκον. μελ.



VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

θαμοῦμαι. ὅυ τὸ θέμα θείμω ἄχρηστομ. ἀό. β' ἔθαμομ. παρακεί. τέθμηκα. ἀπὸ τοῦ θμάω. μέσος παρακεί. τέθμαα. τὸ ἐυκτικόμ. τεθμαίημ. τὸ ἀπαρέμφατομ. τεθμᾶμαι. ἡ μετοχή. τεθμεώς.

ἀρχὴ τοῦ ι.

ἵκμοῦμαι. ὅθεμ τὸ ἀφικμοῦμαι. μ. ἵξομαι. ἀό. β' ἱκόμημ. παράκει. ἷγμαι. ἀπὸ τοῦ ἵκομαι ἀχρήστου. ἱλάσκομαι. μ. ἱλάσομαι. ἀπὸ τοῦ ἱλάω ἀχρήστου. μέσος ἀό. ά ἱλασάμημ. ἵσταμαι. ὅθεμ τὸ ἀφίσταμαι καθίσταμαι. ὁ μ. στήσομαι. ὁ β' ἀό. ἔπτημ. ἀπὸ τοῦ ἱστάω, ἵστημι ἀχρήστου. παρατα. ἱστάμημ, ἵστασο καὶ ἵστω, ἵστατο.

ἀρχὴ τοῦ κ.

καίω καὶ κάω. ὁ μ. καύσω. ὁ παθητικὸς β' ἀό. ἐκάημ. κλαίω καὶ κλάω ἀττικῶς. ὁ μ. κλαύσω καὶ κλαιήσω. ἀπὸ τοῦ κλαιέω ἀχρήστου. καθίζω καθέζομαι. ὁ μ. β' καθεδοῦμαι. κάθημαι. μ. καθήσομαι. καθίημι. ἀό. ά καθῆκα. κλάζω. ὁ μ. κλάγξω. ἀπὸ τοῦ κλάγγω ἀχρήστου. ἀό. ά ἔκλαγξα. παρακεί. κέκληγα. κάμμω καὶ κάμω. ὁ μ. καμοῦμαι. ἀό. β' ἔκαμομ. παρακεί. κέκμηκα. ἀπὸ τοῦ κμῶ. μ. κμήσω. κορέω, ῶ. καὶ κορέμμυμι καὶ κορεμμύω. μ. κορέσω. κρεμάζω καὶ κρεμάω, ῶ. καὶ κρέμαμαι. μ. κρεμάσω. κρυβεὶς καὶ ἐκρύβημ ἀό. β'. ἀπὸ τοῦ κρύπτομαι, ἢ κρύβομαι παλαιοῦ, ὁ μ. κρύψομαι. καταδαρθάμω. ὁ μ. καταδαρθήσομαι. ὁ β' ἀό. κατέδαρθομ. ἀπὸ τοῦ καταδάρθω ἀχρήστου. καλέω. ὁ μ. καλέσω. ὁ παρακεί. κέκληκα. ἀπὸ τοῦ κεκάλεκα κατὰ συγκοπὴμ καὶ τροπὴμ τοῦ ε εἰς η. κεραμμύω καὶ κεράμμυμι. ὁ μ. κεράσω. ὁ παθητικὸς παρακεί. κεκέραμαι. καὶ κατὰ συγκοπὴμ κέκραμαι. κρέμαμαι. ὁ μ. κρεμάσομαι.

ἀρχὴ τοῦ λ.

λαγχάμω. ὁ μ. κληρόσομαι. ἀπὸ τοῦ κληρόω, ῶ. παρακεί. λέλογχα. καὶ ἀττικῶς ἔιληχα. ὁ β' ἀό. ἔλαχομ. ἀπὸ τοῦ λήχω. λήξω. λαμβάμω. ἐλάμβαμομ. μ. λήψομαι. ἀπὸ τοῦ λήβω ἀχρήστου. ὅθεμ ὁ β' ἀό. ἔλαβομ. παρακεί. λέλειφα. καὶ ἀττικῶς ἔιληφα. ὁ ὑπερ. ἐιλήφειμ. λαμθάμω. ἐλάμθαμομ. μ. λήσομαι. ἀπὸ τοῦ λήθω. μέσος παρακεί. λέληθα. ἀό. β' ἔλαθομ. παρακεί. λέλησμαι. μέσος ἀό. β' ἐλαθόμημ.

ἀρχὴ τοῦ μ.

μαίμομαι. ὁ μ. μαμοῦμαι. ὁ μέσος παρακεί. μέμημα, ὁ β' ἀό. ἐμάμημ. μαμθάμω. ἐμάμθαμομ. ὁ μ. μαθήσομαι. ἀπὸ τοῦ μαθέω, ῶ. ὁ παρακεί. μεμάθηκα. ὁ ἀό. β' ἔμαθομ. ἀπὸ τοῦ μήθω ἀχρήστου. μάχομαι. ὁ μ. μαχοῦμαι καὶ μαχέσομαι. ἀπὸ τοῦ μαχέομαι ἀχρήστου. ὁ μέσος ἀό. ά ἐμαχεσάμημ. μείρω ἄχρηστομ. μέσος παρακεί. μέμορα. καὶ ἔμμορα ποιητικόμ. ὁ παθητικὸς παρακεί. ἔιμαρμαι. μέλομαι. ὁ μ. μελήσω. ἀπὸ τοῦ μελέω ἀχρήστου. ὁ μέσος παρακεί. μέμηλα ποιητικόμ. μέμμημαι. ἀπὸ τοῦ μμάομαι. ὁ ὑπερ. ἐμεμμήμημ. ὁ ἀό. ά ἐμμήσθημ. ὁ μ. ά μμησθήσομαι. μέμω ὁ μ. μεμῶ. ἀό. ά ἔμειμα. ὁ παρακεί. μεμέμηκα. ἀπὸ τοῦ μεμέω ἀχρήστου. μιγμύω καὶ μίγμυμι. ὁ μ. μίξω. ὁ β' ἀό. ἐμίγημ. ἀπὸ τοῦ μίγω ἀχρήστου.

ἀρχὴ τοῦ μ.

μέω. μ. μεύσω. μέμω. μ. μεμῶ. ὁ παρακεί. μεμέμηκα. παρεμθέσει τοῦ η. διὰ τὸ ἀσύμτακτομ τοῦ μ καὶ κ. ἀό. ά ἔμειμα.



VNiVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

ἀρχὴ τοῦ ξ.

ξυρίημι. μ. ξυρήσω. ὁ ἀό. ξυρῆκα· καὶ ξυρέηκα ποιη
τικῶς.

ἀρχὴ τοῦ ο.

ὄζω. μ. ὄσω. μέσος ϖαρακεί. ὦδα. καὶ ἀττικῶς ὄ=
δωδα. οἴχομαι. μ. οἰχήσομαι. ἀϖὸ τοῦ οἰχέο
μαι ἀχρήστου. μέσος ἀό. β΄ ᾠχόμην. οἴομαι.
καὶ κατὰ συγκοϖὴν οἶμαι. οἴει. οἴεται. μ. οἰήσο=
μαι. ἀϖὸ τοῦ οἰέομαι ἀχρήστου. ἀό. ά ᾠήθην. ὁ
ϖαρατα. ᾠόμην. καὶ κατὰ συγκοϖὴν ᾤμην. ὀμ
νύω καὶ ὄμνυμι καὶ ὀμόω, ῶ. ὁ μ. ὀμόσω καὶ ὀμοῦ
μαι. ὁ ϖαρακεί. ὤμοκα. καὶ ἀττικῶς ὀμώμοκα.
ὀλολύζω. μ. ὀλολύξω. ὀμόργνυμι. μ. ὀμόρ
ξω. ὀφείλω. μ. ὀφειλήσω. ἀϖὸ τοῦ ὀφειλέω
ἀχρήστου. καὶ ὄφλω. ὀφλήσω· κατὰ συγκοϖήν.
παρακεί. ὤφληκα. ἀό. ὤφλησα. ὁ β΄ ἀό. ὤφελον. καὶ
κατὰ συγκοϖὴν ὦφλον.

ἀρχὴ τοῦ ϖ.

ϖάσχω. ἔϖασχον. ὁ μ. ϖείσομαι. ἀϖὸ τοῦ ϖείθω.
ὁ μέσος ϖαρακεί. ϖέϖονθα· ἀϖὸ τοῦ ϖένθω ἀχρή
στου. ἀό. β΄ ἔϖαθον· ἀϖὸ τοῦ πήθω ἀχρήστου.
ϖέμϖω. ὁ μ. ϖέμψω. ὁ ϖαρακεί. ϖέϖομφα. ἀό. ά ἐ
ϖέμφθην. ϖεταννύω. ὁ μ. ϖετάσω. ὁ ϖαρακεί.
ϖεϖέτακα. καὶ κατὰ συγκοϖὴν πέπτακα. ὅθεν ὁ πα
θητικὸς ϖαρακεί. ϖέϖταμαι. ἀϖὸ τοῦ ϖετάω ἀ=
χρήστου. ϖέττω καὶ ϖέσσω. καὶ ϖέϖτω ϖοιη
τικῶς. μ. ϖέψω. ϖάομαι, ῶμαι. μ. ϖάσομαι.
ϖαρακεί. ϖέϖαμαι· ϖείρω. μ. ϖερῶ. ἀό. ά ἔϖει
ρα. ϖέφρικα. ἀϖὸ τοῦ φρίττω. μ. φρίξω. ὁ ϖα
ρακεί, ἠμαρτημένος ϖέφρικα. ϖηγνύω καὶ ϖή
γνυμι. ὁ μ. ϖήξω. ὁ μέσος ἀό. ἐϖάγην. ἀπὸ τοῦ ϖή
γω· πίνω. ἔπινον. πίομαι ἐπὶ τοῦ μέλλοντος, κἂν μὴ
μέλλοντος ἔχῃ σχηματισμόν. ὁ παρακεί. πέπωκα. ὁ
παθητικός. πέπομαι. ἀπὸ τοῦ πόω, πῶμι ἀχρήστου.
ὁ β΄ ἀό. ἔπιον. πίπτω. μ. πεσοῦμαι. ὁ παρακεί. πέπ
τωκα. ἀπὸ τοῦ πτόω ἀχρήστου. ὁ β΄ ἀό. ἔπεσον. ἀ
πὸ τοῦ πέτω ἀχρήστου. πέρθω. ἀό. β΄ ἔπραθον.
πυνθάνομαι. μ. πεύσομαι. ἀπὸ τοῦ πεύθομαι
ἀχρήστου ἐν πεζῷ λόγῳ.

ἀρχὴ τοῦ ρ.

ῥέω. μ. ῥεύσω καὶ ῥυήσω. ὁ παρακεί. ἐῤῥύηκα. ὁ β΄ ἀ
ό. ἐῤῥύην. ἀπὸ τοῦ ῥυέω ἀχρήστου. ῥηγνύω
καὶ ῥήγνυμι. ὁ μ. ῥήξω. ὁ μέσος παρακεί. ἔῤῥωγα. ὁ
β΄ ἀό. ἐῤῥάγην. ῥωννύω καὶ ῥώννυμι. ὁ μ. ῥώσω.
ῥωννύομαι. μ. ῥώσομαι, παρακεί. ἔῤῥωμαι. ἔῤ
ῥωσαι. ἔῤῥωται. προστακτικόν. ἔῤῥωσο. ἐῤῥώσθω.
ἔῤῥωσθε. ἐῤῥώσθωσαν.

ἀρχὴ τοῦ σ.

σβεννύω καὶ σβέννυμι. ὁ μ. σβέσω καὶ σβήσομαι. ἀ
ό. β΄ ἔσβην. ἀπὸ τοῦ σβέω σβῆμι ἀχρήστου. σεύο
μαι. ἀό. ἔσευα. ὁ παθητικός. ἐσύθην. ὁ παρακεί. ἔσυ=
μαι. σπένδω. μ. σπείσω ἀπὸ τοῦ σπείδω ἀχρήστου
ἀό. ά ἔσπεισα· στάζω, καὶ σταλάζω. μ. στάξω· στέ
νω καὶ στενάζω. μ. στενάξω· στίζω. μ. στίξω·
στορεννύω καὶ στορέννυμι. ὁ μ. στορέσω· ἀπὸ τοῦ
στορέω ἀχρήστου· ἀό. ά ἐστόρεσα· στρωννύ
ω καὶ στρώννυμι. μ. στρώσω· ἀπὸ στρόω ἀχρήσ=
του· ἀό. ά ἔστρωσα·

ἀρχὴ τοῦ τ.

τάζω. μ. τάξω· ἀό. β΄ ἔταγον· καὶ κατὰ ἀναδιπλα=
σιασμὸν ἐτέταγον· ἡ μετοχὴ ὁ τεταγών· τίκτω. μ.
τέξω ὁ μέσος ϖαρακεί· τέτοκα· ὁ ἀό. β΄ ἔτεκον· ἀπὸ

VNiVERSiDAD DE SALAMANCA

τοῦ τέκω ἀχρήστου. τιτρώσκω. ἐτίτρωσκον. μ. τρώσω. ἀό. ά ἔτρωσα. ϖαρακεί. τέτρωκα. ἀϖὸ τοῦ τρόω, ῶ. ἀχρήστου. τίνω καὶ τίω. μ. τίσω. τλάω, ῶ. μ. τλήσω. ἀό. β΄. ἔτλην. ἀϖὸ τοῦ τλῆμι. τιτράω. ὅθεν τὸ διατιτράω. μ. τρήσω. ἀπὸ τοῦ τρά ω. τρέχω, μ. θρέξω καὶ δραμοῦμαι. ὁ παρακεί. δε δράμηκα. ἀϖὸ τοῦ δραμέω ἀχρήστου, ὁ β΄ ἀό. ἔ=δραμον. ἀϖὸ τοῦ δρέμω ἀχρήστου. τρώγω, καὶ ἐϖὶ τοῦ μέλλοντος φάγομαι. μὴ ἔχον τὸν τοῦ μέλλοντος σχηματισμόν. ὁ μ. φαγοῦμαι. ὁ β΄ ἀό. ἔφαγον. ἀϖὸ τοῦ φήγω ἀχρήστου. τρέφω. μ. θρέψω, ϖρὸς ἀντιδιαστολὴν τοῦ [τρέψω. ἀό. ά ἔθρεψα. ὁ μέσος ϖαρακεί. τέτροφα. ὁ ϖαρακεί. ϖα=θητικός. τέθραμμαι. ὁ β΄ ἀό. ἐτράφην. τυγχά=νω. ἐτύγχανον. μ. τεύξομαι. ἀπὸ τοῦ τεύχω ἀχρή στου ἐν ϖεζῷ λόγῳ. ϖαρακεί. τετύχηκα. ἀϖὸ τοῦ τυχέω, ῶ. ἀχρήστου. ἀό. β΄. ἔτυχον.

ἀρχὴ τοῦ υ.

ὑϖισχνοῦμαι. μ. ὑϖοστήσομαι. ἢ ὑϖοσχήσομαι. ϖαρακεί. ὑϖέσχημαι. ἀό. ά ὑϖεσχέθην. ὁ μέσος ἀό. β΄ ὑϖεσχόμην. ἀϖὸ τοῦ ὑϖοσχέομαι ἀχρή=στου. ὑϖοστερίσκω. μ. ὑϖοστερήσω. ὑπνώτ τω. μ. ὑϖνώσω.

ἀρχὴ τοῦ φ.

φάσκω. παρατα. ἔφασκον. καὶ πλέον οὔ. φεύγω. ὁ μ. φεύξομαι καὶ φευξοῦμαι. ὁ μέσος παρα. πέφευ γα. ἀό. β΄ ἔφυγον. φέρω. μ. οἴσω. ἀϖὸ τοῦ οἴω ἀ χρήστου. ϖαρακεί. ἐνήνοχα. ἀό. ά ἤνεγκα. ἀό. β΄ ἤνε γκον. ἀϖὸ τοῦ ἐνέγκω ἀχρήστου. φημί. φής. φησί. φατόν. φατόν. φαμέν. φατέ. φασί. μ. φήσω. ἀό. ά ἔφησα. ἀό. β΄ ἔφην. τὸ ἀϖαρέμφατον φάναι.

φθάνω. ἔφθανον. μ. φθάσω. ἀϖὸ τοῦ φθάω, ῶ. ϖα=ρακεί. ἔφθακα. ἀό. ά ἔφθασα. ἀό. β΄ ἔφθην. ἀϖὸ τοῦ φθάω, φθῆμι. ἡ μετοχὴ ὁ φθάς. φθίνω. μ. φθί=σω. ἀϖὸ τοῦ φθίω ἀχρήστου. φοινίσσω καὶ φοινί ζω. μ. φοινίξω. φύω. μ. φύσω. ϖαρακεί. ϖέφυκα. ἀό. β΄. ἔφυν. ἀϖὸ τοῦ φῦμι.

ἀρχὴ τοῦ χ.

χάσκω. μ. χανοῦμαι. ὁ μέσος ϖαρακεί. κέχηνα, ὁ β΄ ἀό. ἔχανον. ἀϖὸ τοῦ χαίνω ἀχρήστου. χαί ρω. μ. χαιρήσομαι καὶ χαρήσομαι. ἀϖὸ τοῦ χα=ρέω ἀχρήστου. ὁ β΄ ἀό. ἐχάρην. χαλεϖαίνω. μ. χαλεϖανῶ. ἀό. ἐχαλέϖηνα. χέω. μ. χεύσω. ἀϖὸ τοῦ χεύω. ἀό. ά ἔχεα. τὸ ἀϖαρέμφατον χέ=αι. χρωννύω καὶ χρώννυμι. μ. χρώσω. ὁ ϖα=θητικὸς ϖαρακεί. κέχρωσμαι. ἀϖὸ τοῦ χρόω ἀ=χρήστου. χύω καὶ χύνω. μ. χύσω. χωννύω καὶ χώννυμι. μ. χώσω. ἀϖὸ τοῦ χόω ἀχρήστου.

ἀρχὴ τοῦ ω.

ὤθω καὶ ὠθέω, ῶ. μ. ὤσω καί ὠθήσω. ἀό. ά ἔωσα. ὅ θεν τὸ ἀϖέωσα. ὁ ϖαθητικὸς ϖαρακεί. ἔωσμαι. ὠνέομαι, οῦμαι, ὁ ϖαρατα. ἐωνούμην. ὁ μ. ὠνή=σομαι. ὁ παρακεί. ὤνημαι καὶ ἐώνημαι ἀττικῶς. ὅθεν ἐωνημένος. ὦρσα. ἀϖὸ τοῦ ὀρούω. μ. ὀρού=σω. ἀό. ά ὤρουσα. καὶ κατὰ συγκοϖὴν ὦρσα. ἢ ὄ=ρω. ὄρσω. ὦρσα αἰολικῶς.

BIBLIOTECA UNIVERSITARIA SALAMANCA

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

## Ἡρωδιανοῦ περὶ ἐγκλινομένων καὶ ἐγκλιτικῶν καὶ συνεγκλιτικῶν μορίων.

Ἐγκλινόμενόν ἐστι μόριον, λέξις κατὰ τὸ τέλος ὀξυνομένη, τρέπουσα δὲ εἰς βαρεῖαν κατὰ τὴν τοῦ λόγου σύνταξιν, καθάπερ ἔχει ἥ μὴ μητρυιὴ περικαλλὴς ἐρίβοια. ἐγκλιτικόν ἐστι μόριον, ὃ τὴν ἰδίαν ὀξεῖαν κομίζον, τὴν προκειμένην βαρεῖαν εἰς ὀξεῖαν μεθίστησιν· ᾧ ἢ δυνάμει ἢ φύσει ἑτέρα βαρεῖα ὑπέρκειται. δυνάμει μέν, ὡς τὸ δώματά μοι. φύσει δέ, καθάπερ ἀρκεσίλαός τε. συνεγκλιτικὸν δέ ἐστι, σύνταξις δυοῖν ἢ πλειόνων μορίων ἐγκλιτικῶν ἐπαλλήλων ὀξυνομένων. ὡς ἔχει τὰ τοιαῦτα ἤ νύ σέ που δέος ἴσχει. ὁ μὲν γὰρ η ὀξύνεται, διὰ τὸ νυ ἐγκλιτικόν. τὸ δὲ νυ διὰ τὴν ἀντωνυμίαν τὴν σε. ἡ δὲ σε ἀντωνυμία, διὰ τὸν που παραπληρωματικὸν σύνδεσμον. εἴρηται δὲ συνεγκλιτικόν, διὰ τὸ σὺν ἐγκλιτικῷ παραλαμβανόμενον διεγείρειν τὴν ὑπερκειμένην ἐν τῷ τέλει τῆς λέξεως ὀξεῖαν. διαφέρει δὲ ἐγκλινόμενον ἐγκλιτικοῦ. ἢ τὸ μὲν ἐγκλινόμενον, κοινὸν ὄνομα πάσης λέξεώς ἐστι κατὰ τὸ τέλος ὀξυνομένης, τρεπούσης τε εἰς βαρεῖαν. τὸ δέ, ἐν ἰδίοις θέμασι καταλειπόμενον ἀριθμῷ ἰδίῳ. καὶ ὅτι τὸ μέν, αὐτὴν μόνην τὴν ἐπὶ τέλους ὀξεῖαν ἀμείβει εἰς βαρεῖαν. τὸ δέ, καὶ μετατίθησιν εἰς τὴν ὑπερκειμένην συλλαβήν· εἰ τὰ τοῦ λόγου ἐπιδέχοιτο. πᾶν τοίνυν ἐγκλιτικὸν μόριον ἢ μονοσύλλαβόν ἐστιν, ἢ δισύλλαβον. καὶ πᾶν ἐγκλιτικὸν ὑπὲρ μίαν συλλαβὴν τρίχρονόν ἐστιν· ἀναπέμπει τε τὴν ὀξεῖαν ἐπὶ τὴν ὑπερκειμένην βαρεῖαν ἐν τῇ συντάξει καθόλου ἐπὶ μόνων τῶν προπαροξυτόνων καὶ προπερισπωμένων. οἷον, ἀρκεσίλαόν τε. χοῖόν τε. σκῶλόν τε. οὐδέποτε δὲ ἐπὶ τῶν περισπωμένων. διὰ τὸ τὴν περισπωμένην μηδὲν πάσχειν ἐν τῇ συντάξει. ἐπὶ δὲ τῶν παροξυτόνων μόνων τῶν τροχαίων. λάμπέ τε. φύλλά τε. καὶ φλοιόν. οὐδέποτε δὲ τοῦτο ἐν σπονδείῳ παρακολουθεῖ, ὡς δὴ ἐπὶ τοῦ ἀτρείδης τε ἄναξ ἀνδρῶν. φοίβῳ θ᾽ ἱερὴν ἑκατόμβην. ἀλλ᾽ οὐδὲ ἐν ἰάμβῳ. πάρος γέ μεν οὔτι θαμίζεις. ἀλλ᾽ οὐδὲ ἐν τῷ πυρριχίῳ. ὅτι οἱ συμφράσατο βουλάς. ἐὰν δέ ποτε τροχαῖος γένηται διπλασιασθέντος τοῦ τ. ἔσονται ἐπάλληλοι ὀξεῖαι. οἷον, ὅττί μιν ὡς ὑπέδεκτο. πλὴν εἰ μὴ τὸ ἐπιφερόμενον μόριον δισύλλαβον εἴη ἀπὸ τοῦ σφ ἀρχόμενον. ἀκολουθήσει γὰρ τοῖς παροξυνομένοις οὐκ ἐν μόνῳ τροχαίῳ, ἀλλὰ καὶ ἐν ἄλλοις ποσίν. οἷον, ἵνά σφιν δῶκ᾽ ἐνοσίχθων. ἔνθά σφεας ἐκίχανεν υἱὸς δολίοιο μελανθεύς. τόξά σφεών τις ἄριστα κυδωνίῳ. τάξει δὲ χρῆται τῇ ὑποτακτικῇ τοῦ τοιούτου εὐλόγως πάνυ γινομένου. εἰ γὰρ τὸ ἀναπέμπειν τὴν ὀξεῖαν εἰς τὰ ὑπερκείμενα, ἐγκλιτικὰ καλεῖται, σαφὲς ὅτι ἀποδέξεται τὸ ὑποτάσσεσθαι, ἵνα καὶ τὸ ἰδίωμα ἐνδείξηται. ἐκ μὲν οὖν ὀνομάτων ἐγείρει τὴν ὀξεῖαν τὸ τίς. καὶ αἱ τούτου πτώσεις. καὶ τὰ ἰσοδυναμοῦντα τούτῳ, ὅτε ἀοριστωδῶς ἐκφέρεται. οἷον, ἦλθέ τις. ἐκάλεσέ τις. ἐνίσης καὶ πάντοτε ὑποτακτικόν ἐστι. τὸ μὲν οὖν τίς, ἐγείρει ἐν τῷ, εἰ μέν τις τὸν ὄνειρον. τινός, μή τινος. τινί, ὅν τινι κοιμηθεῖσα. τινά, καί τινα τρωϊάδων. τινές, οἵτινες ἀνέρες εἰσί. τινάς, οὕς τινας μεθιέντας ἴδοι. ἰσοδυναμεῖ δὲ τῷ μὲν τινός, τὸ τεῦ ἀλλ᾽ οὔ τευ οἶδα.

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

τῶ δὲ τινί, τὸ τῶ. οἷον, οὔτε σοί. οὔτε τῷ ἄλλῳ.
ἐκ δὲ ῥημάτων τὸ εἰμὶ καὶ φημὶ μόνα ἐγκλιτικά εἰ-
σιν. οἷον, ὅσον σέο φέρτερός εἰμι. καὶ ἀπὸ τούτου
ἐγκλιτικά εἰσιν. εἷς. οἷον, αἵματός εἰς ἀγαθοῖο. ἐσ-
σί. ἐπεὶ ἦ πολὺ φέρτερός ἐσσι. ἐστόν, οἵ μοι σκυζο-
μένω περ ἀχαιῶν φέρτεροί ἐστον. ἐσμέν. αὐτοὶ
γάρ ἐσμεν. εἰσίν. οἵ με φέρτεροί εἰσι μοῦσαί τε κρῖ-
ναί τε. καὶ τὸ φημί. πεζὸς δ' ἔνδεκά φημι κατὰ τροί
ην ἐρίβωλον.      ἐκ δὲ μετοχῶν οὐχ οἷον τέ ἐστιν
ἐγκλιτικὸν εἶναι μόριον. ἀεὶ γὰρ ταῦτα ἐκ θέμα-
τος ἀνάγεται. αἱ δὲ μεταλήψεις ῥημάτων εἰσίν.
ἀλλ' οὐδὲ ἐξ ἄρθρου. τῇ γὰρ συντάξει ἡ παράθεσις
τῶν ἄρθρων μάχεται. ἅπαντα γὰρ ταῦτα προτα
κτικά ἐστιν. οὐχ ἥκιστα δὲ τὰ ὑποτακτικὰ ἀρκτι-
κώτερα ὄντα, τῶν καλουμένων προτακτικῶν, ἣ κα
τάρχει ὅλου λόγου. ἣ μυρί' ἀχαιοῖς ἄλγε' ἔθηκεν.
καὶ ὃς μάλα πολλὰ πλάγχθη. διὰ τοῦτο καὶ ἰδί-
ῳ ῥήματι κατακλείεται, πρὸ αὐτοῦ τε πίπτουσιν
αἱ στιγμαί. καὶ ἐξ ἁπάντων τῶν ὄντων πολλά
ἐστι μόρια εὑρεῖν, ἃ εἰς τὴν προκειμένην σύνταξιν
ὑπάγεται.      ἐκ δὲ ἀντωνυμιῶν, αἱ μὲν ἐγείρου-
σαι τὴν ὀξεῖαν τὴν πρὸ αὐτῶν, ἐγκλιματικαὶ κα-
λοῦνται. αἱ δὲ μὴ ἐγείρουσαι, ὀρθοτομούμεναι. αἱ
μὲν οὖν ἀεὶ ἐγείρουσαι τὴν πρὸ αὐτῶν ὀξεῖαν, εἰ-
σὶν αἵδε. μεῦ. μοῦ. μοί. τοί. μέ. μίν. σφίν. σφέ. σφωέ.
τούτων παραδείγματα. τῆς μὲν μευ. κλῦθί μευ
ἀργυρότοξε. μοι. οὐ γάρ μοι βωμός. τοι. καί τοι ἐ-
γὼ συνέριθος. με καί με. φίλησ' ὥσειτε πατὴρ φί-
λον υἷα. μιν. καί μιν φωνήσας ἔπεα πτερόεντα προ
σηύδα. σφιν. καί σφιν ἅμ' ἔστὶ μέδων. σφε. γίνωσκε
γάρ σφε πάρος. σφωε. τίς τ' ἄρ σφωε θεῶν. αἱ δὲ πο-

τὲ μὲν ἐγείρουσαι τὴν πρὸ αὐτῶν. ποτὲ δὲ μή. σεῦ.
σέο. σοῦ. σοί. σέ. εὖ. οἷ. ἕθεν. σφί. σφώ. σφίσι. σφέας.
ὅτε μὲν οὖν ἀπολελυμένως λέγονται, καὶ οὐχὶ
πρὸς ἕτερον πρόσωπον ἀντιδιαστέλλονται, ἐ-
γείρουσι τὴν πρὸ αὐτῶν ὀξεῖαν. ὅτε δὲ κατὰ τὴν
πρός τι ἕτερον διαστολὴν ἐκφέρονται, ὀρθοτο-
μοῦνται. οἷον, ἀπολελυμένως. σεῦ. ἀλλά σευ ἀκά-
ματος. ὀρθοτομουμένως δέ. σεῦ δ' ἐπεὶ ἐξέλετο ψυ-
χήν. σέο. ἀπολελυμένως. ὥς σεο νῦν ἔραμαι. καί
σεο πρῶτον ἔθηκα. ὀρθοτομουμένως δέ, μὴ σέο
ἐν ἀμφιάλῳ ἰθάκῃ. σφώ. ὅτε μὲν ἐπὶ τοῦ τρίτου
προσώπου λέγεται, ἐγείρει τὴν πρὸ αὐτοῦ ὀξεῖ-
αν, ὅτε δὲ ἐπὶ δευτέρου, ὀρθοτομεῖται. σφὼ δὲ μά-
λ' ἠθέλετον. αἱ δὲ τοῦ τρίτου προσώπου ἑνικαί τε
καί πληθυντικαί, ὅτε μὲν τὸ ἐκ τῆς αὐτὸς μετα-
φραζόμεναι δηλοῦσιν, ὃ καὶ ἐπίταγμα λέγεται,
ἐγείρουσι τὴν πρὸ αὐτῶν ὀξεῖαν. ἡ μὲν ἕο. ἐπεί ἑο
κήδετο λίαν. ἔστι γὰρ ἀντὶ τοῦ ἐπεὶ αὐτοῦ τοῦ ὀ-
δυσσέος ἐκήδετο λίαν ὁ εὔμηλος. ὅτε δὲ μετα-
φραζομένη μετὰ τοῦ ε λέγεται ἡ χώρα, τοῦ ι ἐκφε-
ρομένου δασυνομένου, οὐκ ἐγείρουσιν. οἷον, διή-
φοβος δ' ἄσπιδα ταυρίην σχέθ' ἄπὸ ἕο. ἔστι γὰρ ἀ-
φ' ἑαυτοῦ. εἰσὶ δέ. ἕο, ἕυ. ἕθεν. οἷ. ἕ. σφέων. σφίσι. σφέ-
ας. αὗται δὲ καὶ σὺν τοῖς ἐπιτάγμασι λέγονται.
ὅτε δὴ καὶ ὀρθοτομοῦνται πάντως. οἷον, πὰρ δὲ
οἷ αὐτῷ. ἐὰν δὲ ἐκ περισσοῦ τὸ ἐπίταγμα λαμβά-
νηται, ἐγκλίνονται. ἀλλά οἱ αὐτῷ ζεὺς ὀλέσειε βί-
ην. ἔστι γὰρ ἀλλ' αὐτῷ ψιλῶς. ὑποδείγματα τῶν
ἐγκλινομένων. ἕο. ἐπεί ἑο κήδετο λίαν. ἑυ. ἐπεί ἑυ
φημὶ βίῃ πολυφέρτερος. ἕθεν. ἐπεὶ οὔ ἑθεν ἐστὶ χε-
ρείων. οἷ. καί οἱ εὐχόμενοι. ἕ. καί ἑ κακὴ βούβρω-

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

στις. σφέων. τῶ καί σφεων πολέες κακὸν ὅι τον ἐπέ
σπον. σφίσιν. ἀπὸ τέ σφισιν ὕπνος ὀλώλει. σφέας.
καί σφεας φωνήσας. τῶν δὲ ὀρθοτονουμένων. ἕο.
δηΐφοβος δ᾽ ἄσπιδα ταυρίην σχέθ᾽ ἀπὸ ἕο. ἕυ. φρί
ξας δ᾽ ἕυ λοφίην. ἕθεν. ἀινείας δὲ καὶ ὑπὸ ἕθεν ἀσπὶ
δ᾽ ἀνέσχεν. ὅι. ἐπεὶ ὅυτινα φησὶν ὅμοιον ὅι ἔμμεναι
δαναῶν. ἕ. καλέονταί μιν ἐις ἓ ἕκαστος. σφῶν. σφῶν
τε αὐτῶν καὶ κλισιάων. σφίσι. καὶ τὰ μὲν ἓυ δάσαν
το μετὰ σφίσι. σφέας. ἐρχομένων δὲ κατὰ ἄστυ δι
ὰ σφέας. ἐξ ἐπῤῥημάτων δέ ἐγερτικά ἐστι, τὰ ἐκ
πνεύσεως ἀοριστούμενα ἔχοντα τὴν αὐτὴν ἀκο-
λουθίαν τῶν τόνων, τήν τε ποσότητα δύο συλλα
βῶν. τὸ μὲν γὰρ πού ἐγκλιτικόν ἐστιν, ὡς ἐν τῶ ἔι
πού ἐσαθρήσειε. τῶν πευστικῶν ἑκάστοτε ὀρθοτο
νουμένων. ἐκ πεύσεως δὲ ἀοριστούμενα. ποτέ. καὶ
πότε τοι τρὶς τόσσα. πόθι. ἄικέ ποθι ζεὺς. πῆ. ἀλλά
πη ἄλλη. πόθεν. καί ποθεν ἐλθών. πῶς. ὀυ γάρ πως
ἅμα πάντα. καὶ χωρὶς τοῦ σ. μηδέ πω ὑπόσχεσ-
φιν. ἐκ δὲ συνδέσμων ἐγείρουσι τὴν πρὸ αὐτῶν
ὅι δε. ἐκ μὲν συμπλεκτικῶν. τέ. καί τε θεοὶ ξείνοισι.
κέν. καί κεν ἐλαφρότερος. κέ. καί κε τὸ βουλοίμην.
ἐκ δὲ παραπληρωματικῶν. γέ. ἔι γε μὲν ἤδεις. τάρ.
ἔι ταρ ὅ γ᾽ ἔυχωλῆς. νύ. μή νύ τοι ὀυ χραίσμη σκῆ-
πτρον καὶ στέμμα θεοῖο. νῦν. δεῦρό νυν ἢ τρίπο-
δος. πού. ἤ που καγχαλόωσι. πέρ. μὴ δ᾽ ὅυτως
ἀγαθός περ ἐών. θήν. ὄυ θην ἕκτορι πάντα. ῥά. ἄλ-
λοι μέν ῥα θεοί τε. ὁ δὲ ὕρα ὀυ παραλαμβάνεται.
ἐπεί ἀπὸ φωνήεντος ἄρχεται. ὥςπερ γὰρ ἁι ἀντω
νυμίαι τὸ κατ᾽ ἄρχας ε ἀποβάλλουσαι ἐγκλιτικαὶ
ἐγίνοντο. ἐμοῦ. μοῦ. ἐμοί. μοι. ἐμέ. με. ὅυτως καὶ ἄ
ρα ἀπέβαλε τὸ α, καὶ ἐγένετο ῥά. καὶ ἐνεκλίθη. καὶ
ταῦτα μὲν ὅυτως. περὶ τοῦ ἔστιν.

τὸ ἔστιν, ἡνίκα ἄρχη λόγου, ἢ ὑποτάττεται τῆ ου
ἀποφάσει, ἢ τῶ καὶ, ἢ ἐι, ἢ ἀλλὰ συνδέσμω, ἢ τῶ
ὡς ἐπιῤῥήματι, ἢ τῶ τοῦτο, τηνικαῦτα τὴν ὀξεῖαν
ἔχει ἐπὶ τοῦ ε. οἷον, ἔστι πόλις ἐφύρη μυχῶ ἄργε
ος ἱπποβάτοιο. ὀυκ ἔστ᾽ ὄυδὲ ἔοικε τεὸν ἔπος ἀρ-
νήσασθαι. ὡς ἔστι τῶν αἰσχρῶν. εἰ ἔστιν ὅυτως.
ἀλλ᾽ ἔστιν ἐιπεῖν. τοῦτ᾽ ἔστιν ἁμάρτημα. ἐὰν δὲ ὑ
ποτάττηται ὀξυτόνω λέξει ἢ περισπωμένη, ἐγκλί
νεται. οἷον, καλός ἐστιν. ἑρμῆς ἐστιν. ἢ τροχαίω μὴ
παροξυτόνω ἀλλὰ προπερισπωμένω. οἷον, οἶκός
ἐστι. δεῖ προσθῆναι. ἐι μὴ ἔχοι τὴν τελευταίαν συλ
λαβὴν ὁ τροχαῖος θέσει μακράν, ὡς ἔχει τὸ φοῖνιξ
ἐστί. δοίδυξ ἐστί. διὰ γὰρ τὴν τοῦ ξ ἐπιφοράν, ὀυ
γίνεται ἔγκλισις. μὴ παροξυτόνω δὲ εἶπον. διὰ τὸ
φύλλα ἐστί. παροξύτονος γὰρ ὅυτος ὁ τροχαῖος,
ὀυχὶ προπερισπώμενος. καὶ διὰ τοῦτο τὸ ἔστιν ὀυκ
ἐγκλίνεται. ἀλλ᾽ ἐπὶ τοῦ ι ἔχει τὴν ὀξεῖαν. γίνεται
ὄυν ἡ ἔγκλισις ὀξυτόνω μὲν λέξει. κακός ἐστι. προ
παροξυτόνω δέ, ἄκακός ἐστι. περισπωμένη δέ, φῶς
ἐστι. προπερισπωμένη δέ. φαῦλός ἐστι. καὶ γὰρ ἐ-
παναγωγὴν τῶν αὐτῶν πεποιήμεθα διὰ σαφεστέ
ραν γνῶσιν. ἐὰν δὲ μὴ ὅυτως ἔχη, ἤγουν ὡς προτέ
τακται, τὴν ὀξεῖαν ἐπὶ τοῦ ι δέχεται, καὶ ἐὰν προκῆ
ται αὐτοῦ ὁ τροχαῖος παροξύτονος. οἷον, μάν-
τις. πόρνος. ἢ προπερισπώμενος μέν, ἔχων δὲ τὴν τε
λευταίαν θέσει μακράν, ὡς ἔχει τὸ θῶραξ. δοῖδυξ.
ἢ σπονδεῖος, ὥσπερ τὸ ἥρως. ἕιλως. ἢ ἴαμβος. ὡς τὸ
ἔρως. γέλως. ἢ πυῤῥίχιος. καθάπερ τὸ λόγος. πό
νος. τηνικαῦτα τὸν τόνον ἐπὶ τοῦ ι δέχεται. οἷον,
μάντις ἐστί. δοῖδυξ ἐστί. ἥρως ἐστί. γέλως ἐστί. λό
γος ἐστί.

γνῶμαι μονόστιχοι κατὰ στοιχεῖον
ἐκ διαφόρων ποιητῶν.

εἰς ἀγαθοὺς ἄνδρας.

Ἀνὴρ δὲ χρηστὸς χρηστὸν οὐ μισεῖ ποτέ.
γνώμης γὰρ ἐσθλῆς ἔργα χρηστὰ γίγνεται.
ἐσθλῷ γὰρ ἀνδρὶ ἐσθλὰ καὶ διδοῖ θεός.
ζήλου τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα.
ἤθους δὲ βάσανός ἐστιν ἀνθρώποις χρόνος.

εἰς ἀλήθειαν,

ἡ γλῶσσ᾽ ἁμαρτάνουσα τἀληθῆ λέγει.

εἰς ἁμαρτίαν.

αἰσχρὸν δὲ μηδὲν πράττε, μὴ δὲ μάνθανε.
δὶς ἐξαμαρτεῖν ταυτὸν οὐκ ἀνδρὸς σοφοῦ.
ἔργων πονηρῶν χεῖρ᾽ ἐλευθέραν ἔχε.
ὁ μηδὲν εἰδώς, οὐδὲν ἐξαμαρτάνει.

εἰς ἀνάγκην.

ὑπὸ τῆς ἀνάγκης πάντα δουλοῦται ταχύ.
ὑπὸ τῆς ἀνάγκης πολλὰ ποιοῦμεν κακά.

εἰς ἀρετήν.

ἀνάπαυσίς ἐστι τῶν κακῶν ἀπραξία.
ἃ μὴ προσήκει μήτ᾽ ἄκουε μήθ᾽ ὅρα.
βέλτιόν ἐστι σῶμά γ᾽ ἢ ψυχὴν νοσεῖν.
εὔτακτον εἶναι τἀλλότρια δειπνοῦντα δεῖ.
ἐλευθέρου γὰρ ἀνδρὸς τἀληθῆ λέγειν.
ἐλεύθερον φύλασσε τὸν σαυτοῦ τρόπον.
καλὸν φύουσι καρπὸν οἱ σεμνοὶ τρόποι.
καρπὸς δ᾽ ἀγαθός ἐστιν εὔτακτος βίος.
λάβε πρόνοιαν τοῦ προσήκοντος βίου.
μακάριος ὅστις μακαρίοις ὑπηρετεῖ.
ὅπλον μέγιστόν ἐστιν ἡ ἀρετὴ βροτοῖς.

σαυτὸν φύλαττε τοῖς τρόποις ἐλεύθερον.
ταμεῖον ἀρετῆς ἐστι σωφροσύνη μόνη.
ψυχῆς ἐπιμελοῦ τῆς σεαυτοῦ καθὰ δύνη.

εἰς ἀχαριστίαν.

ἀχάριστος ὅστις εὖ παθὼν ἀμνημονεῖ.
ἀεὶ δ᾽ ὁ σωθείς ἐστιν ἀχάριστος φύσει.
ἄνἤλέηται καὶ τέθνηκεν ἡ χάρις.
ἐπιλανθάνονται πάντες οἱ παθόντες εὖ.
καλὸν δὲ θησαύρισμα κειμένη χάρις.
μετὰ τὴν δόσιν τάχιστα γηράσκει χάρις.
χάριν λαβὼν εὔκαιρον, ἐν καιρῷ δίδου.
χάριν χαρίζου, καθ᾽ ὅσον ἰσχύεις ὅμως.
χάριτας δικαίας καὶ δίδου καὶ λάμβανε.
χάριν λαβὼν μέμνησο, καὶ δοὺς ἐπιλάθου.

εἰς βασιλέα

ἀρχῆς τετευχώς, ἴσθι ταύτης ἄξιος.
εἰκὼν δὲ βασιλεύς ἐστιν ἔμψυχος θεοῦ.

εἰς βίον.

ἀμελοῦντα τοῦ ζῆν, οὐκ ἔνεστ᾽ εὐσχημονεῖν.
βιοῖ μὲν οὐδεὶς ὃν προαιρεῖται βίον.
βίος ἐστίν, ἄν τις τῷ βίῳ χαίρῃ βιῶν.
βίος κέκληται δ᾽ ὡς βίᾳ πορίζεται.
βίος βίου δεόμενος οὐκ ἔστι βίος.
γῆ πάντα τίκτει καὶ πάντα κομίζεται.
ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ᾽ ὡς δυνάμεθα.
οὐκ ἔστι βίον εὑρεῖν ἄλυπον ἐν οὐδενί.
τυφλὸν δὲ καὶ δύστηνον ἀνθρώποις βίος.
τὸ ζῆν ἀλύπως ἀνδρός ἐστιν εὐτυχοῦς.
ὡς ἡδὺς ὁ βίος ἄν τις αὐτὸν μὴ μάθῃ.

εἰς βοήθειαν.

ἀνὴρ γὰρ ἄνδρα καὶ πόλις σώζει πόλιν.



VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

χεὶρ χεῖρα νίπτει δάκτυλος τε δάκτυλον.

εἰς βουλήν.

ἀνὴρ ἄβουλος εἰς κενὸν μοχθεῖ τρέχων.
ἀβουλίᾳ γὰρ πολλὰ βλάπτονται βροτοί.
ἀνὴρ ἄβουλος ἡδοναῖς θηρεύεται.
βουλῆς γὰρ ὀρθῆς οὐδὲν ἀσφαλέστερον.
βουλὴν δὲ παντὸς πράγματος προλάμβανε.
ἐν νυκτὶ βουλὴ τοῖς σοφοῖσι γίγνεται.
ἱερὸν ἀληθῶς ἐστιν ἡ συμβουλία.
σύμβουλος ἐσθλὸς μὴ κακὸς γίγνου φίλοις.
σοφοῦ παρ' ἀνδρὸς προσδέχου συμβουλίαν.
σοφὴ σοφῶν γὰρ γίγνεται συμβουλία.
σύμβουλος ἴσθι τῶν ἀγαθῶν μὴ τῶν κακῶν.

εἰς γάμον.

ἄλυπον ἕξεις τὸν βίον χωρὶς γάμου.
γαμεῖν ὁ μέλλων εἰς μετάνοιαν ἔρχεται.
γάμος γὰρ ἀνθρώποισιν εὐκταῖον κακόν.
γαμεῖν δὲ μέλλων, βλέψον εἰς τοὺς γείτονας.
δαίμων σεαυτῷ πλουσίαν γήμας ἔσῃ.
ἦθος προκρίνειν χρημάτων γαμοῦντα δεῖ.
νόμιζε γήμας δοῦλος εἶναι τῷ βίῳ.
ὁ μὴ γαμῶν ἄνθρωπος οὐκ ἔχει κακά.
ῥᾷον βίον ζῇς, ἂν γυναῖκα μὴ τρέφῃς.
ὡς τρισκακοδαίμων ὅστις ὢν πένης γαμεῖ.

εἰς γέλωτα.

γέλως ἄκαιρος ἐν βροτοῖς δεινὸν κακόν.
γελᾷ δ' ὁ μωρὸς κἄν τι μὴ γελοῖον ᾖ.

εἰς γῆρας.

ἅπαντ' ἀφανίζει γῆρας, ἰσχὺν σώματος.
γήρως δὲ φαύλου τίς γένοιτ' ἂν ἀτροπή.
γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων.



ἐφόδιον εἰς τὸ γῆρας ἀεὶ κατατίθου.
ἥξει τὸ γῆρας πᾶσαν αἰτίαν φέρον.
καλὸν τὸ γηρᾶν καὶ τὸ μὴ γηρᾶν πάλιν.
ὁμιλίας δὲ τὰς γεραιτέρας φίλει.
ὀχληρὸς ἀνὴρ ἐστιν ἐν νέοις γέρων.
πολιὰ χρόνου μήνυσις οὐ φρονήσεως.
φοβοῦ τὸ γῆρας, οὐ γὰρ ἔρχεται μόνον.
χαλεπὸν τὸ γῆρας ἐστιν ἀνθρώποις βάρος.

εἰς γονεῖς.

βούλου γονεῖς πρὸ παντὸς ἐν τιμαῖς ἔχειν.
γονεῖς δὲ τίμα, καὶ φίλους εὐεργέτει.
ἔλπιζε τιμῶν τοὺς γονεῖς πράξειν καλῶς.
θεοὶ μέγιστοι τοῖς φρονοῦσιν οἱ γονεῖς.
ἱκανῶς βιώσεις γηροβοσκῶν τοὺς γονεῖς.
νόμιζε σαυτῷ τοὺς γονεῖς εἶναι θεούς.
πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ.

εἰς γυναῖκα.

βίου σπάνις πέφυκεν ἀνδράσιν γυνή.
γυναικὶ πάσῃ κόσμον ἡ σιγὴ φέρει.
γυναικὸς ἐσθλῆς ἐστι σώζειν οἰκείαν.
γυναικὶ κόσμος ὁ τρόπος οὐ χρυσία.
γυνὴ δικαία τοῦ βίου σωτηρία.
γυναικὸς ἐσθλῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.
γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν.
γυνὴ τὸ σύνολόν ἐστι δαπανηρὸν φύσει.
γυναικὶ μὴ πίστευε τὸν σαυτοῦ βίον.
γυνὴ γὰρ οὐδὲν οἶδε πλὴν ὃ βούλεται.
γυνὴ δὲ χρηστὴ πηδάλιόν ἐστ' οἰκίας.
γυναικὶ δ' ἄρχειν οὐ δίδωσιν ἡ φύσις.
γυνὴ γὰρ οἴκῳ πῆμα καὶ σωτηρία.
γυνὴ γυναικὸς πώποτ' οὐδὲν διαφέρει.



VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

ἐν γὰρ γυναιξὶ πίστιν οὐκ ἔστι δεῖν.
ἐκ τῶν γυναικῶν ὄλλυται κόσμος μέγας.
ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον.
ζήτει γυναῖκα σύμμαχον τῶν πραγμάτων.
ζῆν οὐκ ἔδει γυναῖκα κατὰ πολλοὺς τρόπους.
θησαυρός ἐστι τῶν κακῶν κακὴ γυνή.
θηρῶν ἁπάντων ἀγριωτέρα γυνή.
θάλασσα καὶ πῦρ καὶ γυνὴ κακὰ τρία.
ἱστοὶ γυναικῶν ἔργα κοὐκ ἐκκλησίαι.
ἰὸς πέφυκεν ἀσπίδος κακὴ γυνή.
ἶσον λεαίνης καὶ γυναικὸς ὠμότης.
καλὸν γυναικὸς εἰσορᾶν καλοὺς τρόπους.
καλὸν φυτὸν πέφυκεν ἐν βίω γυνή.
λύπη παροῦσα πάντοτ᾽ ἔστιν ἡ γυνή.
λέοντι συζῆν ἢ γυναικὶ συμβιοῦν.
μεστὸν κακῶν πέφυκε φορτίον γυνή.
νύμφη δ᾽ ἄπροικος οὐκ ἔχει παῤῥησίαν.
οὐδὲν γυναικὸς χεῖρον οὐδὲ τῆς καλῆς.
πολλοὶ γυναικῶν δυστυχοῦσιν εἵνεκεν.
ῥύπος γυνὴ πέφυκεν ἠργυρωμένος.
τερπνὸν κακὸν πέφυκεν ἀνδράσιν γυνή.
ὑπερήφανον πρᾶγμ᾽ ἔστιν ὡραία γυνή.
ὑπὲρ γυναικὸς καὶ φίλου πονητέον.
χειμὼν κατ᾽ οἴκους ἐστὶν ἀνδράσιν γυνή.
ὡς ἔστ᾽ ἄπιστον ἡ γυναικεία φύσις.

εἰς δῆμον.

ἰσχυρὸν ὄχλος ἐστίν, οὐκ ἔχει δὲ νοῦν.

εἰς δίκαιον.

ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται.
ἀνὴρ δίκαιός ἐστιν. οὐχ ὁ μὴ ἀδικῶν,
ἀλλ᾽ ὅστις ἀδικεῖν δυνάμενος, οὐ βούλεται.

βάδιζε τὴν εὐθεῖαν ἢν δίκαιος ᾖς.
βίου δικαίου γίγνεται τέλος καλόν.
δίκαιος ἴσθ᾽ ἵνα καὶ δικαίων δὴ τύχης.
δίκαιος εἶναι μᾶλλον ἢ χρηστὸς θέλε.
δίκαια δράσας, συμμάχου τεύξη θεοῦ.
κρίνειν δίκαιον μὴ τὸ συμφέρον θέλε.
πρὸς εὖ λέγοντας οὐ δὲν ἀντιπεῖν ἔχω.
τρόπος δίκαιος κτῆμα τιμιώτατον.

εἰς δόξαν.

ζήτει σεαυτῷ δόξαν ἐγκαταλιπεῖν.
καλῶς ἀκούειν μᾶλλον ἢ πλουτεῖν θέλε.
κενῆς δὲ δόξης οὐδὲν ἀθλιώτερον.

εἰς δούλους.

δούλου δὲ χεῖρον οὐδὲν οὐδὲ τοῦ καλοῦ.
εἷς ἐστι δοῦλος οἰκίας ὁ δεσπότης.
λυπεῖ με δοῦλος δεσπότου μεῖζον φρονῶν.
ὡς ἡδὺ δούλῳ δεσπότου χρηστοῦ τυχεῖν

εἰς δυστυχίαν.

δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται.
δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ᾽ εὐτυχεῖς.
ἐπ᾽ ἀνδρὶ δυστυχοῦντι μὴ πλάσης κακόν.
ἐξ ἡδονῆς γὰρ φύεται τὸ δυστυχεῖν.
μή ᾽μβαινε δυστυχοῦντι. κοινὴ γὰρ τύχη.
μηδέ ποτε σαυτὸν δυστυχῶν ἀπελπίσης.
νόμιζε κοινὰ πάντα δυστυχήματα.
οἴμοι, τὸ γὰρ ἄφνω δυστυχεῖν μανίαν ποιεῖ.
τῶν δυστυχούντων εὐτυχὴς οὐδεὶς φίλος.

εἰς ἐγκράτειαν.

γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν.
ἡ κοιλία καὶ πολλὰ χωρεῖ κὠλίγα.

εἰς ἐλπίδας.



VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

ἀνὴρ ἀτυχῶν δὲ σῴζεται ταῖς ἐλπίσιν.
αἱ δ᾽ ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν.
ἔλπιζε πάντα μέχρι γήρως θνητὸς ὤν.

εἰς ἔπαινον.

ὑπὲρ σεαυτοῦ μὴ φράσῃς ἐγκώμια.
φίλων ἔπαινον μᾶλλον ἢ σαυτοῦ λέγε.

εἰς εὐγενῆ.

ἀνὴρ ἄριστος οὐκ ἂν εἴη δυσγενής.

εἰς εὐτυχίαν.

δίκαιον εὖ πράττοντα μεμνῆσθαι θεοῦ.
κατ᾽ ἰδίαν φρόνησιν οὐδεὶς εὐτυχεῖ.
κοινὸν δὲ καλόν ἐστι χρηστὸς εὐτυχῶν.
οὐκ ἔστιν ὅς τις πάντ᾽ ἀνὴρ εὐδαιμονεῖ.
πολλοὶ μὲν εὐτυχοῦσιν, οὐ φρονοῦσι δέ.
τὸν εὐτυχοῦντα, καὶ φρονεῖν νομίζομεν.
τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς.
τῶν εὐτυχούντων πάντες εἰσὶ συγγενεῖς.
ὡς εὐκόλως πίπτουσιν αἱ λαμπραὶ τύχαι.

εἰς εὐσέβειαν.

θνητὸς πεφυκὼς μὴ φρονῆς ὑπὲρ θεά.
θεὸν σέβου καὶ πάντα πράξεις ἐνθέως.
ὑπὲρ εὐσεβείας καὶ λάλει καὶ μάνθανε.

εἰς εὐχήν.

ψυχῆς δικαίας οὐκ ἀνήκοος θεὸς.

εἰς ἐρῶντα.

γέρων ἐραστὴς ἐσχάτη κακὴ τύχη.

εἰς ἔχθραν.

ἀθάνατον ἔχθραν μὴ φύλαττε θνητὸς ὤν.
ἐχθροὺς ἀμύνου μὴ ἐπὶ τῇ σαυτοῦ βλάβῃ.
ἐχθροῖς ἀπιστῶν, οὔποτ᾽ ἂν πάθοις βλάβην.
λόγον παρ᾽ ἐχθροῦ μήποτ᾽ ἡγήσῃ φίλον.

εἰς ζωήν.

ζῆν βουλόμενος μὴ πράττε θανάτου ἄξια.
ζῆν αἰσχρὸν οἷς ζῆν ἐφθόνησεν ἡ τύχη.
πάντες καλῶς ζῆν ἐθέλομεν, ἀλλ᾽ οὐ δυνάμεθα.
ὡς ἡδὺ τὸ ζῆν μὴ φθονούσης τῆς τύχης.

εἰς ἡδονήν.

ἡ γὰρ παράκαιρος ἡδονὴ τίκτει βλάβην.
ὡς πολλὰ διὰ τὰς ἡδονὰς λυπούμεθα

εἰς θάνατον.

βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται.
ζωῆς πονηρᾶς θάνατος αἱρετώτερος.
ἢ ζῆν ἀλύπως, ἢ θανεῖν εὐδαιμόνως.
θνητὸς πεφυκὼς μὴ γέλα τεθνηκότα.
καλὸν τὸ θνήσκειν οἷς ὕβριν τὸ ζῆν φέρει.
κρεῖσσον τὸ μὴ ζῆν ἐστιν ἢ ζῆν ἀθλίως.
ὃν γὰρ φιλεῖ θεὸς γ᾽ ἀποθνήσκει νέος.
οὔπω ποτ᾽ ἐζήλωσα πολυτελῆ νεκρόν.
τὸ γὰρ θανεῖν οὐκ αἰσχρόν, ἀλλ᾽ αἰσχρῶς θανεῖν.

εἰς θεόν.

θεὸς συνεργῶν πάντα ποιεῖ ῥαδίως.
θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις.
ὁ νοῦς γὰρ ἡμῖν ἐστὶν ἐν ἑκάστῳ θεός.
πάντη γάρ ἐστι πάντα τε βλέπει θεὸς.
τὸ γὰρ τρέφον με τοῦτ᾽ ἐγὼ κρίνω θεόν.

εἰς ἰατρούς.

ἰατρὸς ἀδόλεσχος νοσοῦντι πάλιν νόσος.
πολλῶν ἰατρῶν εἴσοδός μ᾽ ἀπώλεσεν.

εἰς καιρόν.

ἅπαντα καιρῷ χάριν ἔχει τρυγώμενα.
καλὸν τὸ καιροῦ παντὸς εἰδέναι μέτρον.
καιρὸς γάρ ἐστι τῶν νόμων κρείττων πολύ.

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

καιροὶ δὲ καταλύουσι τὰς τυραννίδας.
καιροῦ τυχὼν γὰρ πτωχὸς ἰσχύει μέγα.
πολλῶν ὁ καιρὸς γίνεται παραίτιος.
πολλοὺς ὁ καιρὸς ἄνδρας οὐκ ὄντας ποιεῖ.
τάχισθ' ὁ καιρὸς μεταφέρει τὰ πράγματα.
τὸν καιρὸν εὔχου πάνθ' ἵλεων ἔχειν.
ὡς μέγα τὸ μικρόν ἐστιν ἐν καιρῷ δοθέν.
ὥρα τὰ πάντα τοῦ βίου κρίνει καλῶς.

### εἰς κάλλος.

μὴ κρῖν' ὁρῶν τὸ κάλλος, ἀλλὰ τὸν τρόπον,
ὡς ἡδὺ κάλλος ὅταν ἔχει νοῦν σώφρονα.

### εἰς κέρδος.

βίον πορίζου πάντοθεν πλὴν ἐκ κακῶν.
βουλόμεθα πλουτεῖν πάντες, ἀλλ' οὐ δυνάμεθα.
βέλτιστε μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει.
ζήτει συνάγειν ἐκ δικαίων τὸν βίον.
ἦθος πονηρὸν φεῦγε καὶ κέρδος κακόν.
κέρδος πονηρὸν μὴ λαβεῖν βούλου ποτέ.
κέρδος πονηρὸν ζημίαν ἀεὶ φέρει.
τὰ μικρὰ κέρδη μείζονας βλάβας φέρει.
τὸ κέρδος ἡγοῦ κέρδος ἂν δίκαιον ᾖ.
τὰ δ' αἰσχρὰ κέρδη συμφορὰς ἐργάζεται.

### εἰς κρίσιν καὶ εἰς τὴν θείαν δίκην.

κατηγορεῖν οὐκ ἔστι καὶ κρίνειν ὁμοῦ.
ἀνεξέταστον μὴ κόλαζε μηδένα.
ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην.
ἔστιν δίκης ὀφθαλμὸς ὃς τὰ πάνθ' ὁρᾷ.
θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.
λήσειν διὰ τέλους μὴ δόκει πονηρὸς ὤν.
ὀξὺς θεοῦ δ' ὀφθαλμὸς εἰς τὸ πάνθ' ὁρᾶν.

### εἰς κρύφια.

ἀφεὶς τὰ φανερὰ μὴ δίωκε τἀφανῆ.
ἢ μὴ ποίει τὸ κρυπτόν, ἢ μόνος ποίει.
ὑπόνοια δεινόν ἐστιν ἀνθρώποις κακόν.

### εἰς λιμόν.

λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ.
λιμῷ γὰρ οὐδέν ἐστιν ἀντειπεῖν ἔπος.

### εἰς λόγον.

ἰσχυρότερον δέ γ' οὐδέν ἐστι τοῦ λόγου.
λόγος γάρ ἐστι λύπης φάρμακον μόνος.
λόγῳ μ' ἔπεισας φαρμάκῳ σοφωτάτῳ.
λόγοις ἀμείβου τὸν λόγοις πείθοντά σε.
λύπην γὰρ εὔνους οἶδεν ἰᾶσθαι λόγος.
λόγῳ διοικεῖται βροτῶν βίος μόνῳ.
μέγιστόν ἐστιν ὀργῆς φάρμακον λόγος.
ὁ λόγος ἰατρός ἐστι τοῦ κατὰ ψυχὴν πάθους.
ῥῆμα παρὰ καιρὸν ῥιφθὲν ἀνατρέπει βίον.
ῥίψας λόγον τίς, οὐκ ἀναιρεῖται πάλιν.
ψυχῆς νοσούσης ἐστὶ φάρμακον λόγος.

### εἰς λύπην.

ἀεὶ τὸ λυποῦν ἐκ δίωκε τοῦ βίου,
ἆρ' ἐστὶ συγγενές τι λύπη καὶ βίος;
βιοῦν ἀλύπως θνητὸν ὄντ' οὐ ῥάδιον.
λῦπαι γὰρ ἀνθρώποισι τίκτουσι νόσους.
πλοίου λιμὴν μέν, ἀλυπία δ' ὅρμος βίου.
οὐκ ἔστι λύπης χεῖρον ἀνθρώποις κακόν.
τὸ ζῆν ἀλύπως ἀνδρός ἐστιν εὐτυχοῦς.

### εἰς μέθην.

καλὸν τὸ νήφειν ἢ τὸ πολλὰ κραιπαλᾶν.
ὁ πολὺς ἄκρατος μικρ' ἀναγκάζει φρονεῖν.

### εἰς τὸ μέλλον

θνητὸς πεφυκώς, τοὐπίσω πειρῶ βλέπειν.

VNIVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

μένει δ' ἕκαστον τοῦθ' ὅπερ μέλλει παθεῖν.
μή μοι γένοιθ' ἃ βούλομαι, ἀλλ' ἃ συμφέρει.
οὐδεὶς τὸ μέλλον ἀσφαλῶς βουλεύεται.

εἰς μετάνοιαν.

ἡ δὲ μετάνοια γίγνετ' ἀνθρώποις κρίσις.

εἰς μετριότητα.

ἄνθρωπον ὄντα σαυτὸν ἀναμιμνήσκ' ἀεί.
βούλου δ' ἀρέσκειν πᾶσι μὴ σαυτῷ μόνον.
εἰ θνητὸς εἶ βέλτιστε θνητὰ καὶ φρόνει.
ἐν δ' εὐπροσηγόροισιν ἔστι τὶς χάρις
ἴσος μὲν ἴσθι πᾶσι κἂν προὔχῃς βίῳ.
σωτηρίας σημεῖον ἥμερος τρόπος.
τὸ γνῶθι σαυτὸν πανταχοῦ 'στὶ χρήσιμον.

εἰς μητρυιάν.

δεινότερον οὐδὲν ἄλλο μητρυιῆς κακόν.

εἰς νεότητα.

ἀκμὴ τὸ σύνολον οὐδὲν ἄνθους διαφέρει.
μέμνησο νέος ὢν ὡς γέρων ἔσῃ ποτέ.
νέος πεφυκὼς πολλὰ χρηστὰ μάνθανε.
νέῳ δὲ σιγᾶν μᾶλλον ἢ λαλεῖν πρέπει.
νέος ὢν ἀκούειν τῶν γεραιτέρων θέλε.

εἰς νόμους.

ἰσχυρὸν ὁ νόμος ἐστίν, ἢν ἄρχοντ' ἔχῃ.
νόμῳ τὰ πάντα γίγνεται καὶ κρίνεται.
νόμοις ἕπεσθαι τοῖσιν ἐγχώροις καλόν.
βίας παρούσης οὐδὲν ἰσχύει νόμος.
ῥήτωρ πονηρὸς τοῖς νόμοις λυμαίνεται.

εἰς ξένους.

ξένους πένητας μὴ παραδράμῃς ἰδών.
ξένοις ἐπαρκῶν τῶν ἴσων τεύξῃ ποτέ.
ξενίας ἀεὶ φρόντιζε, μὴ καθυστέρει.
ξένοισι πιστοῖς πιστὸς ὢν γίγνου φίλος.
ξένον ἀδικήσεις μηδέποτε καιρὸν λαβών.
ξένῳ μάλιστα συμφέρει τὸ σωφρονεῖν.
ξένος ὢν ἀπράγμων ἴσθι, καὶ πράξεις καλῶς.
ξένον προτιμᾶν μᾶλλον ἀνθρώποις ἔθος.
ξένον δὲ σιγᾶν κρεῖττον, ἢ κεκραγέναι.
ξένος πεφυκὼς τοὺς ξενοδόχους σέβου.
ξένους ξένιζε, καὶ σὺ γὰρ ξένος γ' ἔσῃ.
πλάνη βίον τίθησι σωφρονέστερον.

εἰς ὅρκον.

ἀνδρῶν δὲ φαύλων ὅρκον εἰς ὕδωρ γράφε.
θεὸν ἐπιορκῶν μὴ δόκει λεληθέναι.
ὅρκον δὲ φεῦγε κἂν δικαίως ὀμνύῃς.

εἰς ὀργήν.

ἄνθρωπος ὢν γίγνωσκε τῆς ὀργῆς κρατεῖν.
γίγνου δ' ἐς ὀργὴν μὴ ταχὺς ἀλλὰ βραδύς.
βλάπτει τὸν ἄνδρα θυμὸς εἰς ὀργὴν πεσών.
ζήσεις βίον κράτιστον ἂν θυμοῦ κρατῇς.
θυμοῦ κρατῆσαι κἀπιθυμίας καλόν.
νίκησον ὀργὴν τῷ λογίζεσθαι καλῶς.
ὀργὴ δὲ πολλὰ δρᾶν ἀναγκάζει κακά.
οὐδεὶς μετ' ὀργῆς ἀσφαλῶς βουλεύεται.
ὀργὴ φιλούντων μικρὸν ἰσχύει χρόνον.
ὀργὴν ἑταίρου καὶ φίλου πειρῶ φέρειν.
φεύγειν ἀεὶ δεῖ δεσπότας θυμουμένους.

εἰς παῖδας.

ἀνθαίρετος λύπη 'στὶν ἡ τέκνων σπορά.
μακάριόν ἐστιν υἱὸν εὔτακτον τρέφειν.
μακάριος ὅστις εὐτύχησεν εἰς τέκνα.
στῦλος γὰρ οἴκου παῖδές εἰσιν ἄρρενες.
φιλίας μέγιστος δεσμὸς αἱ τέκνων γοναί.

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

εἰς παιδείαν.

ἀναφαίρετον κτῆμ᾽ ἐστὶ παιδεία βροτοῖς.
ἅπαντας ἡ παίδευσις ἡμέρους ποιεῖ.
βραβεῖον ἀρετῆς ἐστιν εὐπαιδευσία.
βλέπων πεπαίδευμ᾽ εἰς τὰ τῶν ἄλλων κακά.
γράμματα μαθεῖν δεῖ, καὶ μαθόντα νοῦν ἔχειν.
διπλοῦν ὁρῶσιν οἱ μαθόντες γράμματα.
βακτηρία γάρ ἐστι παιδεία βίου.
κάλλιστόν ἐστι κτῆμα παιδεία βροτοῖς.
κἂν τοῖς ἀγροίκοις ἐστὶ παιδείας λόγος.
καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά.
τιμὴ πέφυκε πᾶσι παιδεία βροτοῖς.
ὁ γραμματεῖ ἰδὼς καὶ περισσὸν νοῦν ἔχει.
ὁ σοφὸς ἐν αὐτῷ περιφέρει τὴν οὐσίαν.
ὁ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται.
ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων.
οὐκ ἔστι σοφίας κτῆμα τιμιώτερον.
σοφοῖς ὁμιλῶν κ᾽ αὐτὸς ἐκβήσῃ σοφός.
σοφία γάρ ἐστι καὶ μαθεῖν ὃ μὴ νοεῖς.
σοφῷ παρ᾽ ἀνδρὶ πρῶτον εὑρέθη λόγος.
σοφὸς γὰρ οὐδεὶς ὃς τὰ πάντα προσκόπτει.
σοφία δὲ πλούτου κτῆμα τιμιώτερον.
σοφοῦ παρ᾽ ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν.
σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας.
ὡς οὐδὲν ἡ μάθησις, ἂν μὴ νοῦς παρῇ.

εἰς παραίνεσιν.

ἅπαντες ἐσμὲν ἐς τὸ νουθετεῖν σοφοί,
αὐτοὶ δ᾽ ἁμαρτάνοντες, οὐ γιγνώσκομεν.

εἰς πενίαν.

πενία δ᾽ ἀγνώμονάς γε τοὺς πολλοὺς ποιεῖ.
καλῶς πένεσθαι μᾶλλον ἢ πλουτεῖν κακῶς.
λεπτῶς καλῶς ζῆν κρεῖσσον, ἢ λαμπρῶς κακῶς.
μισῶ πένητα πλουσίῳ δωρούμενον.
πενίαν φέρειν οὐ παντός, ἀλλ᾽ ἀνδρὸς σοφοῦ.
πένητας ἀργοὺς οὐ τρέφει ῥαθυμία.
πενία δ᾽ ἄτιμον καὶ τὸν εὐγενῆ ποιεῖ.
πενίαν φέρειν καὶ γῆράς ἐστι δύσκολον.
οὐδὲν πενίας βαρύτερόν ἐστι φορτίον.
τῶν γὰρ πενήτων εἰσὶν οἱ λόγοι κενοί.

εἰς πίστιν.

μὴ πάντα πειρῶ πᾶσι πιστεύειν ἀεί.

εἰς πλεονεξίαν.

ἰσότητα δ᾽ αἱροῦ. πλεονεξίαν φύγε.
κακὸν μέγιστον ἐν βροτοῖς ἀπληστία.

εἰς πλοῦτον.

δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν.
δύναμις πέφυκε τοῖς βροτοῖς τὰ χρήματα.
ἂν δ᾽ ἔχωμεν χρήμαθ᾽ ἕξομεν φίλους.
ἥδιστόν ἐστι τῶν ὑπαρχόντων κρατεῖν.
μέμνησο πλουτῶν τοὺς πένητας ὠφελεῖν.
μὴ σπεῦδε πλουτεῖν μὴ πένης γένῃ ταχύ.
πλούτῳ πεποιθὼς ἄδικα μὴ πειρῶ ποιεῖν.
ῥάθυμος ὢν σὺ πλούσιος, πένης ἔσῃ.
χρυσὸς δ᾽ ἀνοίγει πάντα, κἀΐδου πύλας.

εἰς πολυπραγμοσύνην.

πολυπραγμονεῖν τἀλλότρια μὴ βούλου κακά.
πολλοὶ σχολὴν ἄγουσιν εἰς τὰ χείρονα.
τὸ πολλὰ πράττειν ἐστὶ πανταχοῦ σαπρόν.
τὸ πολλὰ πράττειν κωλύμας πολλὰς ἔχει.

εἰς πονηρούς.

ἀνὴρ πονηρὸς δυστυχεῖ κἂν εὐτυχεῖ.
ἀνδρὸς πονηροῦ φεῦγε συνουσίαν ἀεί.

VNIVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

ἀσυλλόγιστόν ἐστιν ἡ πονηρία.
ἀνουθέτητόν ἐστιν ἡ πονηρία.
ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσεται.
δύσμορφος εἴην μᾶλλον, ἢ καλὸς κακός.
τὸν δόλιον ἄνδρα φεῦγε παρ' ὅλον τὸν βίον.
ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν.
ἤθη πονηρὰ τὴν φύσιν διαστρέφει.
θεοῦ δ' ὄνειδος τοὺς κακοὺς εὐδαιμονεῖν.
κακοῖς ὁμιλῶν, κ' αὐτὸς ἐκβήσῃ κακός.
κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
καὶ ζῶν ὁ φαῦλος καὶ θανὼν κολάζεται.
κακῷ σὺν ἀνδρὶ μὴ δόλως ὁδοιπόρει.
πονηρὸν ἄνδρα μηδέποτε ποιοῦ φίλον.
φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί.
φασὶν κακίστους οἱ πονηροὶ τοὺς καλούς.
χρηστὸς πονηροῖς οὐ τιτρώσκεται λόγοις.
ὡς ἔργον εὖ ζῆν ἐν πονηροῖς ἤθεσιν.
ὡς πάντα τιμῆς ἐστι, πλὴν κακοῦ τρόπου.

εἰς προσοχήν.

εἰ μὴ φυλάσσεις μίκρ' ἀπολεῖς τὰ μείζονα.
τῆς ἐπιμελείας πάντα δοῦλα γίγνεται.

εἰς σιωπήν.

γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.
γλώσσῃ ματαίᾳ ζημία προσγίνεται.
διὰ δὲ σιωπῆς πικρότερον κατηγόρει.
ἐνίοις τὸ σιγᾶν ἐστι κρεῖττον τοῦ λέγειν.
εὐκαταφρόνητόν ἐστι σιγηρὸς τρόπος.
ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν.
ἢ λέγε τι σιγῆς κρεῖττον, ἢ σιγὴν ἔχε.
πολλοῖς ἀπόκρισις ἡ σιωπὴ τυγχάνει.
ἡ γλῶσσα πολλῶν ἐστιν αἰτία κακῶν.

ἢ δεῖ σιωπᾶν ἢ λέγειν ἀμείνονα.
κρεῖττον σιωπᾶν ἢ λαλεῖν ἃ μὴ πρέπει.
οὐδὲν σιωπῆς ἐστι χρησιμώτερον.
σιγή ποτ' ἐστὶν αἱρετωτέρα λόγου.
οὐ δεῖ σιωπᾶν καὶ λαλεῖν ὅπου χρεών.

εἰς συνείδησιν.

βροτοῖς ἅπασιν ἡ συνείδησις θεός.

εἰς τέχνην.

λιμὴν ἀτυχίας ἐστὶν ἀνθρώποις τέχνη.
τύχη τέχνην εὕρηκας, οὐ τέχνη τύχην.

εἰς τιμήν.

τιμώμενοι γὰρ πάντες ἥδονται βροτοί.

εἰς τόλμαν.

εὔτολμος εἶναι κρῖνε τολμηρὸς δὲ μή.
ἔστι τὸ τολμᾶν ὦ φίλ' ἀνδρὸς οὐ σοφοῦ.
προπέτεια πολλοῖς ἐστιν αἰτία κακῶν.
τὸ πολλὰ τολμᾶν, πόλλ' ἁμαρτάνειν ποιεῖ.

εἰς τύχην.

ἄνθρωπος ὤν, μέμνησο τῆς κοινῆς τύχης.
βέβαιον οὐδὲν ἐν βίῳ δοκεῖ πέλειν.
δοὺς τῇ τύχῃ τὸ μικρόν, ἐκλήψῃ μέγα.
δυσπαρακολούθητον δὲ πρᾶγμ' ἔσθ' ἡ τύχη.
θεῷ μάχεσθαι δεινόν ἐστι καὶ τύχῃ.
οἷς μὲν δίδωσιν, οἷς δ' ἀφαιρεῖται τύχη.
πολλοὺς κακῶς πράσσοντας ὤρθωσεν τύχη.
πᾶσι γὰρ εὖ φρονοῦσι συμμαχεῖ τύχη.
ῥέγχει παρούσης τῆς τύχης τὰ πράγματα.
στρέφει δὲ πάντα τὰν βίῳ μικρὰ τύχη.
τύχη τὰ θνητῶν πράγματ' οὐκ εὐβουλία.
ταὐτόματον ἡμῶν κάλλιω βουλεύεται.
τὰ θνητὰ πάντα μεταβολὰς πολλὰς ἔχει.

VNIVERSIDAD DE SALAMANCA
GREDOS.USAL.ES

χειμὼν μεταβάλλει ῥᾳδίως εἰς εὐδίαν.
ὡς ποικίλον πρᾶγμ' ἐστὶ καὶ πλάνον τύχη.

εἰς ὕβριν.

δύσμοιρος ἴσθι μᾶλλον, ἢ κακηγόρος.
ξίφος τιτρώσκει σῶμα, τὸν δὲ νοῦν λόγος.
οὐδὲν πέπονθας δεινόν, ἂν μὴ προσποιῇ.

εἰς ὑγείαν.

οὐκ ἔσθ' ὑγείας κρεῖττον οὐδὲν ἐν βίῳ.
ὑγίεια καὶ νοῦς ἐσθλὰ τῷ βίῳ δύο.

εἰς ὑπεριφανίαν.

ἀλαζονείας οὔτις ἐκφεύγει δίκην.
ὅτ' εὐτυχεῖς μάλιστα μὴ μέγα φρόνει.

εἰς ὕπνον.

ὕπνος δὲ θανάτου τὶς προμελέτησις πέλει.
ὕπνος δὲ πᾶσίν ἐστιν ὑγίεια βίου.
ὕπνου τὰ μικρὰ τοῦ θανάτου μυστήρια.
ὕπνος πέφυκε σώματος σωτηρία.
ὕπνος δὲ πεῖναν τὴν κακέσχατον δαμᾷ.

εἰς ὑπομονήν.

ἀνδρὸς τὰ προσπίπτοντα γενναίως φέρειν.
ἔνεγκε λύπην καὶ βλάβην ἐρρωμένως.
κούφως φέρειν δεῖ τὰς παρεστώσας τύχας.
νίκα λογισμῷ τὴν παροῦσαν συμφοράν.
πειρῶ τύχης ἄγνοιαν εὐχερῶς φέρειν.
ῥᾶον παραινεῖν ἢ παθόντα καρτερεῖν.
στερρῶς φέρειν χρὴ συμφορὰν τὸν εὐγενῆ.
τὴν τῶν κρατούντων μάθε φέρειν ἐξουσίαν
φρονοῦντός ἐστι ζημίαν ῥᾶον φέρειν.
φέρειν ἀνάγκη θνητὸν ὄντα τὴν τύχην.

εἰς φθόνον.

αὐτὸς πενωθεὶς τοῖς ἔχουσι μὴ φθόνει.

εἰς φίλους.

ἄδικον τὸ λυπεῖν τοὺς φίλους ἑκουσίως.
ἅπασιν εὖ πράττουσιν ἥδομαι φίλοις.
ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.
βέβαιος ἴσθι καὶ βεβαίως χρῶ φίλοις.
δεῖ τοὺς φιλοῦντας πίστιν οὐ λόγους ἔχειν.
ἐν τοῖς δὲ δεινοῖς χρημάτων κρείττων φίλος.
εὔχου δ' ἔχειν τι, κἂν ἔχῃς, ἕξεις φίλους.
ἐν τοῖς κακοῖς δὲ τοὺς φίλους εὐεργέτει.
ἴσον θεῷ σοῦ τοὺς φίλους τιμᾶν θέλε.
ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς.
κρίνει φίλους ὁ καιρὸς ὡς χρυσὸν τὸ πῦρ.
καλὸν τὸ μηδὲν εἰς φίλους ἁμαρτάνειν.
καλὸν θέαμα δ' ἐστὶν εὖ πράττων φίλος.
κακὸν φέρουσι καρπὸν οἱ κακοὶ φίλοι.
μισοῦντα μίσει καὶ φιλοῦνθ' ὑπερφίλει.
λίαν φιλῶν σεαυτὸν οὐχ ἕξεις φίλον.
μὴ φεῦγ' ἑταῖρον ἐν κακοῖσι κείμενον.
μακάριος ὅστις ἔτυχε γενναίου φίλου.
μηδέποτε πειρῶ δύο φίλων εἶναι κριτής.
νόμιζ' ἀδελφοὺς τοὺς ἀληθινοὺς φίλους.
οὐκ ἔστιν οὐδεὶς ὅστις οὐχ αὑτὸν φιλεῖ.
ὀργῆς χάριν τὰ κρυπτὰ μὴ 'κφάνῃς φίλου.
οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου.
πειρῶ φίλοισι μὴ κακὸς γ' εἶναι φίλος
πολλοὶ τραπέζης οὐκ ἀληθείας φίλοι.
τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους.
φίλον δι' ὀργὴν ἐν κακοῖς μὴ παρίδῃς.
φίλος φίλῳ γὰρ συμπονῶν αὑτῷ πονεῖ.
φίλου τρόπους γίνωσκε· μισήσῃς δὲ μή.
φίλος με βλάπτων οὐδὲν ἐχθροῦ διαφέρει.



VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

φίλους ἔχων, νόμιζε θησαυροὺς ἔχειν.
φιλεῖ δ᾽ ἑαυτοῦ πλεῖον οὐδεὶς οὐδένα.
φιλίας δικαίας κτῆσις ἀσφαλεστάτη.
φίλον βέβαιον ἐν κακοῖσι μὴ φοβοῦ.

εἰς φιλοπονίαν.

ἔργοις φιλόπονος ἴσθι, μὴ λόγοις μόνον.
ἐν μυρίοις τὰ καλὰ γίγνεται πόνοις.
μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.
φιλόπονος ἴσθι, καὶ βίον κτήσῃ καλόν.
ὡς ἡδὺ τοῖς σοφοῖσι μεμνῆσθαι πόνων.
ὡς πολλὰ θνητοῖς ἡ σχολὴ ποιεῖ κακά.
αὐτά σε διδάσκει τοῦ βίου τὰ πράγματα.

εἰς φρόνησιν.

ἀγαθὸν μέγιστον ἡ φρόνησίς ἐστ᾽ ἀεί.
ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.
ἄριστόν ἐστι πάντ᾽ ἐπίστασθαι καλά.
ἂν εὖ φρονῇς τὰ πάντα γ᾽ εὐδαίμων ἔσῃ.
ἀεὶ κράτιστόν ἐστι τἀσφαλέστατον.
ἔνιοι κακῶς φρονοῦσι πράσσοντες καλῶς.
ἐμπειρία γὰρ τῆς ἀπειρίας κρατεῖ.
ἡδύ γε πατὴρ φρόνησιν ἀντ᾽ ὀργῆς ἔχειν.
ἥδιστόν ἐστιν εὐτυχοῦντα νοῦν ἔχειν.
μισῶ σοφιστήν, ὅς τις οὐχ αὑτῷ σοφός.
νοεῖν γάρ ἐστι κρεῖττον ἢ σιγὴν ἔχειν.
συνετὸς πεφυκὼς φεῦγε τὴν κακουργίαν.
ὁ παρ᾽ ἡλικίαν νοῦς μῖσος ἐξεργάζεται.
οὐδεὶς ὃ νοεῖς μὲν οἶδε, ὃ δὲ ποιεῖς βλέπει.
οὐ πανταχῆ δ᾽ ὁ φρόνιμος ἁρμόττειν δοκεῖ.
τὸ μηδὲν εἰκῆ πανταχοῦ ᾽στι χρήσιμον.
ψυχῆς μέγας χαλινὸς ἀνθρώποις ὁ νοῦς.
ὡς οὐδὲν ἡ μάθησις ἢν μὴ νοῦς παρῇ,

εἰς φύσιν.

ἡ δοῦσα πάντα καὶ κομίζεται φύσις.
ἡ φύσις ἑκάστου γὰρ γένους ἐστὶ πατρίς.
ἡ φύσις ἁπάντων τῶν διδαγμάτων κρατεῖ.
φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥάδιον.

εἰς χρόνον.

ἄγει δὲ πρὸς φῶς τὴν ἀλήθειαν χρόνος.
μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.
πάν τἀκαλύπτων ὁ χρόνος πρὸς φῶς φέρει.
σύμβουλος οὐδείς ἐστι βελτίων χρόνου.
χρόνῳ τὰ πάντα γίγνεται καὶ κρίνεται.
χρόνος δίκαιον ἄνδρα δεικνύει μόνος.
χρόνος δ᾽ ἀναιρεῖ πάντα καὶ λήθην ἄγει.

εἰς χρέος.

λαβὼν ἀπόδος ἄνθρωπε καὶ λήψῃ πάλιν.
τὰ δάνεια δούλους τοὺς ἐλευθέρους ποιεῖ.

εἰς ψεῦδος.

ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.
ψεύδους διαβολὴ τὸν βίον λυμαίνεται.
ψεῦδος δὲ μισεῖ πᾶς σοφὸς καὶ χρήσιμος.

εἰς ψόγον.

ἤθους δικαίου φαῦλος οὐ ψαύει λόγος.
νικᾷ γὰρ αἰεὶ διαβολὴ τὰ κρείττονα.
τὸν αὐτὸν αἰνεῖν καὶ ψέγειν ἀνδρὸς κακοῦ.

εἰς ψυχήν.

ψυχὴν ἔθιζε πρὸς τὰ χρηστὰ πράγματα.

Τέλος.

VNiVERSiDAD DE SALAMANCA
GREDOS.USAL.ES

Δημήτριος Δούκας ὁ κρὴς τοῖς ἐν κομπλούτου ἀκαδημίᾳ σπουδαίοις εὖ πράττειν.

Ἐγὼ ἐλθὼν μὲν ἐς ἰσπανίαν προσκαλεσθεὶς παρὰ τοῦ αἰδεσιμωτάτου τῆς ἰσπανίας καρδηναλίου τῆς ἑλληνίδος φωνῆς δηλονότι χάριν, εὑρὼν δὲ μεγάλην ἑλληνικῶν βιβλίων ἀπορίαν, ἢ μᾶλλον εἰπεῖν ἐρημίαν, ὡς οἷόν τε ἦν ἐμοί, καὶ γραμματικὰ καὶ ποιητικά τινα χαρακτῆρσιν οἷς ἐνετύχομεν ἐντυπώσας ὑμῖν ἐδωρησάμην. μηδενὸς οὔτε ἐν ταῖς μεγάλαις τῆς ἐντυπώσεως δαπάναις, οὔτε ἐν ταῖς ταλαιπωρίαις τῆς διορθώσεως ἐμοὶ συναγωνιζομένου, ἀλλὰ μόνος ὁσημέραι καὶ κοινῶς ἀναγινώσκων, καὶ ἀντιγράφων, καὶ διορθῶν, μόγις διήρκουν. ὑμέτερον οὖν ἐστὶ τὰ ὑπ᾽ ἐμοῦ καὶ ἱδρῶτι καὶ ἀγρυπνίᾳ καὶ δαπάνῃ πονηθέντα, εὐγνωμόνως δέξασθαι, καί μοι χάριν οἰδέναι, χάριν δὲ παρ᾽ ὑμῶν ἀπειληφέναι ὁμολογήσω. εἰ σπουδάζοντες ἐν τῇ ἑλληνικῇ παιδείᾳ λόγιοι ἀποβήσεσθε. ἔρρωσθε.

Laurentius martinus bradyglossus de illo ad lectores.

Intumuit pharia cythara tymbreus apollo:
Dulcia virgineo carmina monte canens.
Pentheos amphion diuino pectine muros
Struxit. ⁊ hismenon carmine mulsit ouans
Hesperias dulcis decorat demetrius oras.
Candida cui nimium calliopea fauet.
Quo veterum cecinit maiori fulgure nullus.
Cum quicunqꝫ suo fulguret ore potens.
En agit ipse virum nitidi qua cerula fessos
Branchiade ignipedes tethyos vnda lauat.
Quaqꝫ vagam pheben tyrias nox mergit in vndas.
Demetri ⁊ toto nomen in orbe micat:
Qua rutilis humeros pallantis fusa capillis
Sidereo nitidum dat phaethonta polo:
Erigonesqꝫ patrem donat rhodopeius vmbris
Ampelos. ⁊ thetidis parrasis imbre caret.
Ac per hyanteos populos interrita virtus
Gorgoneis tensum tangit athlanta comis.

Impressum in compluti academia ab Arnaldo Guillelmo Brocario. Anno Dñi. M.ccccc.xiiij. Die vero decimo Aprilis.

Registrũ huius operis.

Omnes sunt quaterni. Preter. a. x. que sunt duerni. a.b.c.d.e.f.g.h.i.k.l.m. n.o.p.q.r.s.t.u.x.

BIBLIOTECA UNIVERSITARIA SALAMANCA

VNIVERSIDAD DE SALAMANCA GREDOS.USAL.ES

VNIVERSIDAD
DE SALAMANCA
GREDOS.USAL.ES

UNIVERSIDAD
DE SALAMANCA
GREDOS.USAL.ES